stuporem, et admirationem lectoribus incutiat, et auditorem suspensum reddat. Quo fit, ut quædam præter decorum dixisse videatur. Etenim probabilitas semper ex admirandis ac eximiis rebus propositis sequitur. Quapropter non solum res, sed etiam verba extollit, et a communi consuetudine transfert. Quod vero nova et non omnibus obvia semper admirationi sint, et auditorem demulceant, nemini obscurum est. Præterea ex fabulosis istis orationibus si quis non oscitanter, sed accurate singula dicta legat, patebit quantus in omni scientiarum et artium genere Homerus fuerit, quamque multas occasiones, et tanquam semina quædam tum verborum, tum rerum omnigenarum, posteris suppeditaverit, idque non solum ligata, sed et soluta oratione utentibus scriptoribus, ut sunt historici, oratores, et Philosophi. Videamus igitur in eo primum multiplicem dictionis usum, deinde multijugam quoque rerum cognitionem.

Omnis igitur poësis quadam dictionum serie inter se conjunctarum, rhythmo videlicet ac metro conficitur. Quandoquidem si id, quod planum et blandum est, gravitate et suavitate simul condiatur, lectores delectando attentos reddit. Quo fit, ut ob eandem causam animi illorum non solum extra se rapiantur, et aures demulceantur, verum etiam facilius persuadeantur iis rebus, quæ ad virtutem conferunt.

Cæterum Homeri versus perfectissimo metro constant, hoc est hexametro, quod

a Sic de conjectura *Steph.* cum *Barnesio* edidi pro καὶ γάρ.

b Ἐπιλέγοιτο,] Est *leget* potius, quam *perpendat*, ut vetus interpretatio habet. Sic ἐπιλέγεσθαι dixit Herodot. III. 41. plura exempla dedit Cl. *Abresch.* Obs. Misc. VI. 599.

c Ἴδωμεν γὰρ] Sententia et nexus requirunt οὖν, aut simile quid.

μετρον, ὃ καὶ ἡρῷον καλεῖται. ἑξάμετρον μὲν, ὅτι εἷς ἕκαστος στίχος ἔχει πόδας ἓξ, ὧν ὁ μὲν ἐστιν ἐκ δύο συλλαβῶν, σπονδεῖος καλούμενος, ὁ δὲ, ἐκ τριῶν, μιᾶς μὲν μακρᾶς, δύο δὲ βραχειῶν, ὃς λέγεται δάκτυλος. καὶ εἰσὶν ἀλλήλοις ἰσόχρονοι· αἱ γὰρ δύο βραχεῖαι μιᾶς μακρᾶς χρόνον ἐπέχουσιν. οὗτοι δὲ παρ' ἀλλήλοις συντιθέμενοι, πληροῦσι τὸ ἑξάμετρον ἔπος. ἡρῷον δὲ λέγεται, ὅτι διὰ τούτου τὰς τῶν ἡρώων πράξεις διηγεῖται.

Λέξει δὲ ποικίλῃ κεχρημένος, τοὺς ἀπὸ πάσης διαλέκτου τῶν Ἑλλήνων χαρακτῆρας ἐγκατέμιξεν, ἐξ ὧν δῆλός ἐστι, πᾶσαν μὲν Ἑλλάδα ἐπελθὼν, καὶ πᾶν ἔθνος.

Καὶ Δωριέων μὲν τῇ συνήθει τῆς βραχυλογίας ἐλλείψει κέχρηται, τὸ δῶμα λέγων δῶ·

Αἶψα δέ οἱ δῶ ἀφνειὸν πέλεται.

Καὶ τὸ ὅτι, ὅ.

Ὅ μοι αἰετὸς ἔκτανε χῆνας.

Καὶ τὸ ὀπίσω, ἄψ, μεταβαλὼν τὸ μὲν ο εἰς τὸ α, τὸ δὲ π καὶ τὸ σ εἰς τὸ συγγενὲς αὐτοῖς, καὶ τὸ ἄλλοτε, ἄλλο·

Ἤδη γάρ με καὶ ἄλλο τεὴ ἐπίνυσσεν ἐφετμή.

et Heroicum appellatur. Et hexametrum quidem dicitur, quod unusquisque versus sex pedes complectitur: quorum unus ex duabus longis syllabis, nomine spondeus, constat: alter vero ex tribus, priore quidem longa, posterioribus vero duabus brevibus, qui dactylus vocatur. Paribus autem inter se temporibus uterque est: duæ namque breves syllabæ uni longæ æquipollent. Atque hi duo pedes invicem positi, hexametrum versum constituunt. Heroicum autem ideo appellatur, quod hoc carminis genere Heroum facta celebrantur.

Varia autem dictione usus, ex omni Græcorum dialecto loquendi formas suis poëmatis interseruit. Unde et constat quod totam Græciam, et cunctas illius nationes peragraverit.

Nam Doriensium defectu, qui perquam familiaris est brevitati studentibus, usus est, pro verbo δῶμα, id est *domus,* dicens, δῶ ut,

Statim autem ei domus magnifica obtingit.

Et pro ὅτι id est, *quod* ὅ: ut

Quod aliqua mihi anseres interfecit.

Et pro ὀπίσω id est *retro* ἄψ, ο quidem in α, π vero et σ, in cognatam ipsis literam, nempe ψ, mutando. Denique pro ἄλλοτε id est *alibi,* ἄλλο: ut,

Jam alibi præcepta tua hæc fecere modestum.

Καὶ τὰ τοιαῦτα. ὁμοίως δὲ καὶ τὰ μέσα συντεμὼν λέγει· τὰς ὁμότριχας καὶ ὁμοετεῖς, ὄτριχας καὶ οἰετέας, καὶ τὸν ὁμοπάτριον, ὀπάτριον, καὶ τὸ τρέμειν, τρεῖν, καὶ τὸ τιμῶ, τίω. τῶν αὐτῶν δέ ἐστι καὶ τὸ ὑπερβιβάζειν τὰ στοιχεῖα, ὡς ἐν τῷ κάρτιστοι, ἀντὶ τοῦ κράτιστοι.

Αἰολέων δὲ χρῆται ἐν τοῖς συνθέτοις τῇ συγκοπῇ, καδδραθέτην λέγων, ἀντὶ τοῦ κατεδραθέτην, καὶ ὑββάλλειν ἀντὶ τοῦ ὑποβάλλειν. καὶ ἐπὶ τοῦ παρατατικοῦ χρόνου, τὰ τρίτα πρόσωπα, λήγοντα παρὰ τοῖς ἄλλοις εἰς τὴν ει δίφθογγον, διὰ τοῦ η παρὰ τοῖς Αἰολεῦσιν ἐκφέρεται, ὡς ἐν τῷ ἐφίλη, ἐνόη. οὕτω δὲ καὶ Ὅμηρος ἐποίησεν, "δίδη μόσχοισι λύγοισιν," ἀντὶ τοῦ ἔδει, ὅ ἐστιν ἐδέσμει. καὶ

Τοὺς μὲν ἄρ' οὔτ' ἀνέμων διάει μένος ὑγρὸν ἀέντων.

Καὶ ἐναλλάσσειν τὸ σ εἰς τὸ δ. ὡς ἐν τῷ λέγειν ὀδμὴ, καὶ ἴδμεν. καὶ τὸ πλεονάζειν ἔν τισιν· ὡς τὸ εὔκηλος, ἀντὶ τοῦ ἕκηλος· καὶ αὐτὰρ ἀντὶ τοῦ ἀτάρ· καὶ κεκλήγοντες, ἀντὶ τοῦ κεκληγότες· καὶ τὸ προστιθέναι τῷ δευτέρῳ προσώπῳ τῶν ῥημάτων τὸ θα, ὡς τὸ ἔφησθα, καὶ εἴπησθα. τὸν δὲ διπλασιασμὸν τῶν συμφώνων οἱ μὲν Δωριεῦσιν, οἱ δὲ Αἰολεῦσι προσνέμουσιν· οἷόν ἐστιν "ἔλλαβε πορφύρεος θάνατος," καὶ "ὁππότερος τάδε ἔργα."

Ἰώνων δὲ ἴδιον ἔχει τὸ ἀφαιρέσει χρῆσθαι ἐν τοῖς παρῳχηκόσι χρόνοις τῶν ῥημάτων. ὡς τὸ βῆ, καὶ τὸ δῶκεν. ἔθος γὰρ ἔχουσι καὶ ἐπὶ τῶν παρῳχημένων χρόνων ἀπὸ τῶν αὐτῶν στοιχείων ἄρχεσθαι,

Et hujusmodi. Ad eundem modum et medias concidendo voces, ait pro ὁμότριχας, i. ejusdem capilli, ὄτριχας, et pro ὁμοετεῖς, i. coævi. οἰετέας. Et pro ὁμοπάτριον. i. ejusdem patris, ὀπάτριον, pro τρέμειν, id est tremere, τρεῖν, pro τιμῶ, id est, persolvo, τίω. Eorundem Doriensium est, et literas transponere, ut quam dicunt pro κράτιστοι id est, optimi κάρτιστοι.

Æolum vero syncopa in compositis utitur, καδδραθέτην dicens, pro κατεδραθέτην. Et ὑββάλλειν, pro ὑποβάλλειν. Deinde tertias imperfecti personas apud alios in ει diphthongum desinentes, Æoles per η efferunt, ut quum pro ἐφίλει est ἐφίλη: et pro ἐνόει, id est cogitabat, ἐνόη dicunt. Quem morem et Homerus secutus ait, *Teneris virgultis vinciebat*, δίδη pro ἔδει. Et

Humida quos neque permeat ulla potentia venti.

Ad hæc quum mutant σ in δ, ac dicunt ὀδμὴ pro ὀσμὴ, et ἴδμεν, pro ἴσμεν. Præterea pleonasmo in quibusdam vocibus: ut pro ἕκηλος, et pro ἄταρ, εὔκηλον, dicunt, et αὐτάρ. Et quum secundæ verborum personæ θα particulam adjiciunt, pro ἔφης, ἔφησθα, et pro εἴπης, id est *dixeris*, εἴπησθα dicentes. Porro consonantium duplicationem alii Doriensibus, alii Æolibus tribuunt. Cujusmodi illud est, *Corripuit mors atra*: et *Uter ista opera*.

Ionum autem proprietatem observat, dum aphæresi in præteritis verborum temporibus utitur, velut quum βῆ dicit, pro ἔβη; et δῶκεν i. *dedit*. Siquidem in more

ἀφ' ὧν ἐςὶ καὶ ὁ ἐνεςὼς. καὶ τὸ ὑφαιρεῖν τὸ ε ἐν τῷ ἱερεὺς, καὶ ἱρηξ. καὶ τὸ προςτιθέναι τοῖς τρίτοις προςώποις τῶν ὑποτακτικῶν τὸ σι, οἷον ἐςὶ τὸ ἔλθῃσι, καὶ τὸ λάβῃσι, καὶ ταῖς δοτικαῖς, θύρῃσιν, ὕλῃσι. καὶ τὸ λέγειν ὄνομα καὶ νοῦσον, τὸ ὄνομα καὶ τὴν νόσον· καὶ κεινὸν καὶ μεῖλαν ἀντὶ τοῦ κενὸν, καὶ μέλαν. καὶ τὸ μεταβάλλειν τὸ α, ἐπειδὰν ἐκτείνηται, εἰς τὸ η, ὡς τὸ ἥρη, ἀθήνη. ἔςι δ' ὅτε ἐκ τοῦ ἐναντίου, τὸ η εἰς τὸ α, ὡς τὸ λελησμένος, ἀντὶ τοῦ λελασμένος, καὶ τὸ διαιρεῖν τὰ περισπώμενα ῥήματα, φρονέων, καὶ νοέων· καὶ τὰς γενικὰς τὰς εἰς ου ληγούσας, ὡς τὸ Διομήδεος, Σαπφόος· καὶ τὰς περισπωμένας γενικὰς τῶν πληθυντικῶν, ὡς τὸ Πυλέων, Περσέων· καὶ τῶν οὐδετέρων τὰς πληθυντικὰς εὐθείας τὰς εἰς τὸ η ληγούσας, ὡς τὸ ςήθεα, μέλεα, καὶ τὰς γενικὰς αὐτῶν ὁμοίως· ἰδίως δὲ λέγουσι καὶ τὸ τετράφαται, καὶ τὰ τοιαῦτα.

Μάλιστα δὲ τῇ Ἀτθίδι διαλέκτῳ κέχρηται· καὶ γὰρ ἐπίμικτος ἦν. καὶ ἐπεὶ λέγεται παρὰ τοῖς Ἀττικοῖς λεὼς, ὁ λαὸς, κατὰ ταύτην τὴν συνήθειάν ἐςι παρ' αὐτῷ ὁ Πηνέλεως, καὶ τὸ χρέως. ἔςι δὲ αὐτοῖς σύνηθες καὶ τὸ συναλείφειν ἐνίοτε, καὶ ἀντὶ δύο ποιεῖν μίαν συλλαβὴν, τὸ ἔπος τοῦπος, τὸ ἱμάτιον θοιμάτιον. οἷς ἐςιν ὅμοιον "Τρῶες δὲ προὔκυψαν ἀολλέες" καὶ πεδία λωτεῦντα, ἀντὶ τοῦ λωτεύοντα. καὶ τὸ ὑφαιρεῖν τὸ η τῶν εὐκτικῶν τῶν τοιούτων, δοκοίης, δοκοῖς, τιμώης, τιμῷς ἔςιν ἀττικόν· ᾧ ἀκολούθως εἴρηται, "ἄλλοι δὲ διακρινθῆτε τάχιςα." ὁμοίως δὲ καὶ τοῦτο ἀττικὸν, "οἱ πλέονες κακίους, παῦροι δέ τε πατρὸς ἀρείους" ὃ λέγομεν κακίονες, καὶ ἀρείονες. καὶ τὰς αἰτιατικὰς τῶν τοιούτων μὴ διαιρεῖν, τοὺς βοῦς, τοὺς ἰχθῦς. Βοῦς περιτεμνομένους. καὶ, ἰχθῦς,

habent, præterita tempora ab iisdem literis inchoare, quibus et præsens: et auferre ε in voce Ἱερεὺς et Ἵρηξ. Præterea tertiis subjunctivi modi personis σι addunt, ut quum pro ἔλθῃ ἔλθῃσι: et pro λάβῃ, λάβῃσι dicunt. Quam particulam et dativis adjiciunt, θύρῃσι, ὕλῃσι, dicentes. Ad hæc dum ὄνομα et νοῦσον, pro τὸ ὄνομα, et τὴν νόσον. κεινὸν pro κενὸν, et μεῖλαν, pro μέλαν efferunt. denique et α cum productum fuerit, in η mutant, pro ἥρα, ἥρη, et pro ἀθηνᾶ, ἀθήνη, efferentes. Et accidit, ut e contra η in α mutantes, dicant pro λελησμένος, λελασμένος. Insuper et circumflexa ita per diæresin efferunt, pro φρονῶν, φρονέων, et pro νοῶν, νοέων dicentes. Eodem modo et genitivos singulareis in ους desinentes proferunt, ut Διομήδεος, Σαπφόος. Et circumflexos genitivos pluraleis, ut Πυλέων et Περσέων. Denique et plurativos nominum neutrius generis rectos in η desinentes, ut ςήθεα, μέλεα. Atque idem de ejusdem numeri genitivis judicium. Cæterum hoc eis proprium est, ut τετράφατο, et similia dicant.

Maxime vero Attica dialecto usus est, idque propter varietatem. nam quemadmodum Attici pro λαὸς, λεὼς dicunt, sic et ipse Πηνέλεως, et χρέως. Est autem eis familiare, contractionibus nonnumquam uti, et pro duabus unam syllabam facere, ut pro τὸ ἔπος τοῦπος, et pro τὸ ἱμάτιον θοιμάτιον. Quibus illud Homericum affine est, *Trojani autem inclinaverunt frequentes.* Et illud: *Campos lotum ferentes.* Ad hæc η ex hujusmodi optativis tollunt, δοκοίης, δοκοῖς, τιμώης, τιμῷς, est atticismus, secundum quem dictum est illud: *Cæteri vero discernamini celerrime.* Et cum dicunt, *Plures deteriores, pauci vero patre meliores.* Quandoquidem in communi lingua dicimus κακίονες, etc. Solent quoque hujusmodi accusativos non per diæresin

ὄρνιθάς τε. κἀκεῖνο δὲ εἴρηται ἀττικῶς· "οὐδέ τε μιν σθένεϊ ῥηγνῦσι ῥέοντες" ὡς ζεύγνυσιν, ὄμνυσι. καὶ τὸ ἐξαιρεῖν τὰ βραχέα τῶν ἀττικῶν, λούεται, λοῦται, οἴομαι, οἶμαι. οὕτως οὖν καὶ τὸ λῦτο ἀντὶ τοῦ ἐλύετο. τῶν αὐτῶν ἐστὶ καὶ τὸ ἑώρων καὶ ἑωνησάμην, ἐκ περισσοῦ προστιθέντων τὸ ε, ὅθεν ἐστὶ καὶ τὸ ἐῳνοχόει. καὶ τὸ συναιρεῖν τὸ ι ἐπὶ τῶν τοιούτων· ἠϊόνες, νηρηΐδες. οὕτω καὶ τό· σφὼ δὲ μάλ' ἠθέλετον. καὶ ἐπὶ τῆς εἰς ι καθαρὸν ληγούσης δοτικῆς παρατελευτῶντος τοῦ α, κέραϊ, γέραϊ, σέλαϊ. ἐστὶ δὲ καὶ τοῦτο ἀττικὸν, τὸ λέγειν ἔστων, καὶ ἐπέσθων, ἀντὶ τοῦ ἔστωσαν, καὶ ἐπέσθωσαν. ἐστὶ δὲ καὶ ἡ τῶν εὐκτικῶν χρῆσις ἀντὶ τῶν παρεληλυθότων τῶν ὁριστικῶν τῆς αὐτῆς συνηθείας, ᾗ καὶ Ὅμηρος χρῆται συνεχῶς, καὶ τοῖς θηλυκοῖς ἀρσενικὰ ἄρθρα, ἢ μετοχὰς, ἢ ἐπίθετα συντάσσειν, ὡς τὼ χεῖρε, τὼ γυναῖκε. καὶ παρὰ Πλάτωνι δὲ, ἄγοντε καὶ φέροντε. καὶ ἡ σοφὸς γυνὴ, καὶ ἡ δίκαιος. οὕτως οὖν καὶ Ὅμηρος ἐπὶ Ἥρας καὶ Ἀθηνᾶς ἔφη· οὐκ ἂν ἐφ' ἡμετέρων ὀχέων πληγέντε κεραυνῷ· καὶ, ἤτοι Ἀθηναίη ἀκέων ἦν, καὶ κλυτὸς Ἱπποδάμεια. Καὶ περὶ τὴν σύνταξιν δὲ πολλὰ ἰδιώματα ἐχουσῶν τῶν διαλέκτων, ὅταν εἴπῃ ὁ ποιητής· ἀλλ' ἄγ' ὀΐστευσον Μενελάου κυδαλίμοιο, ἀττικὴν δείκνυσι τὴν συνήθειαν. ὅταν δὲ εἴπῃ, δέξατό οἱ σκῆπτρον· καὶ, θέμιστι δὲ καλλιπαρήῳ δέκτο δέπας, ἐν τούτοις διορίζει.

Ὅπως μὲν οὖν τὰς πάντων ἑλλήνων φωνὰς ἀθροίζων, ποικίλον ἀπεργάζεται τὸν λόγον, καὶ χρῆται ποτὲ μὲν ταῖς ξέναις, ὥσπερ εἰσιν αἱ προειρημέναι· ποτὲ δὲ ταῖς ἀρχαίαις, ὡς ὅταν λέγῃ ἄορ, καὶ σάκος· ποτὲ δὲ ταῖς κοιναῖς, καὶ συνήθεσιν, ὡς ὅταν λέγῃ, ξίφος, καὶ ἀσπίδα, δῆλον. καὶ θαυμάσειέ τις, ὅτι καὶ κοιναὶ λέξ-

efferre, βοῦς videlicet pro βόας circumflectentes, ut quum Homerus dicit, *Pisces avesque.* Et illud Attice dictum est, *neque ipsum robore rumpit fluentes,* ut ζεύγνυσιν, ὄμνυσι. Præterea et breves vocales Attici ex verbis abjiciunt, ut λοῦται, οἶμαι. Ad quem modum et pro ἐλύετο λῦτο dicunt. Eorundem est dicere, Ἑώρων, ἑωνησάμην, ita ut ε præter necessitatem addant, unde est etiam ἐῳνοχόει. ι quoque in hujusmodi verbis contrahunt, ut pro ἠιόνες, ἠόνες, et pro Νηρηΐδες Νηρῇδες dicant. Sic et illud habet, *Vos autem duo* (σφὼ) *admodum volebatis,* Denique in dativis in ι purum desinentibus, quorum penultima α obtinet, idem fit: ut κέραϊ, γέραϊ, σέλαϊ. Est et hoc Atticum, ubi dicitur, ἔστων, ἐπέσθων. Ejusdem consuetudinis est, quod optativos pro præteritis indicativis usurpant, qua et Homerus identidem utitur. Præterea cum nominibus fœmininis articulos, participia, et adjectiva masculina conjungunt, ut *manus, mulieres:* quod et Platoni familiare est, ut cum dicit, ἄγοντε, φέροντε, ἡ σοφὸς γυνὴ καὶ ἡ δίκαιος. sic igitur et Homerus de Junone ac Minerva loquens ait, *nequaquam in nostris curribus perculsi fuerint* (πληγέντε). Et, *Sane Minerva invitus erat,* (ἀκέων.) Et, *Inclytus* (κλυτὸς) *Hippodameia.* Porro quum dialecti multam quoque in constructionibus proprietatem habeant, quando poëta dicit, *Ast age divini jaculis pete tu Menelai,* Atticam constructionem refert. Et quando ait, *Accepit sibi sceptrum,* et *Themidi pulchrigenæ acceperat pateram.*

Quo pacto igitur omnium Græcorum voces congerendo variam orationem efficiat, dum utitur nonnunquam peregrinis, ut sunt prædictæ: aliquando vero priscis, ut quum dicit, ἄορ, σάκος: nonnunquam vero communibus et assuetis, ut quando ait,

εις παρ' αὐτῷ σώζουσι τὸ σεμνὸν τοῦ λόγου. ἐπεὶ δὲ ὁ ἐγκατάσκευος λόγος φιλεῖ τὴν τοῦ συνήθους ἐξαλλαγὴν, ὑφ' ἧς ἐναργέστερος, ἢ σεμνότερος, ἢ πάντα τερπνότερος γίγνεται· καὶ ἡ μὲν τῶν λέξεων ἐκτροπὴ καλεῖται τρόπος, ἡ δὲ τῆς συνθέσεως, σχῆμα· καὶ ἔστι τὰ εἴδη τούτων, ἐν τῇ τεχνολογίᾳ [a] ἀναγεγραμμένα· θεασώμεθα, τί τούτων Ὁμήρῳ παραλέλειπται, ἢ τί ἕτερον ὑπὸ τῶν μετ' αὐτὸν εὕρηται, ὃ ἐκεῖνος οὐκ εἶπε πρῶτος.

Τῶν τοίνυν τρόπων ὀνοματοποιΐα καὶ πάνυ σύνηθές ἐστιν αὐτῷ. εἶδε γὰρ καὶ τὴν παλαιὰν ἀρχὴν τῶν ὀνομάτων, ὅτι οἱ πρῶτοι τὰ πράγματα ὀνομάσαντες, πολλὰ ἀπὸ τοῦ συμβεβηκότος προσηγόρευσαν, καὶ τὰς ἀνάρθρους φωνὰς τοῖς ἐγγραμμάτοις ἐξετύπωσαν. ὡς τὸ φυσᾷν, καὶ τὸ [b] τρίζειν, καὶ μυκᾶσθαι, καὶ τὸ βροντᾷν, καὶ τὰ τούτοις ὅμοια. ὅθεν καὶ αὐτὸς ἐποίησέ τινα ὀνόματα οὐκ ὄντα πρότερον, πρὸς τὰ σημαινόμενα τυπώσας, οἷον τὸν δοῦπον, καὶ τὸν ἄραβον, καὶ τὸν βόμβον, καὶ τὸ ῥόχθει, καὶ τὸ ἀνέβρυχε, καὶ τὸ σίζε, καὶ τὰ τοιαῦτα, ὧν οὐκ ἂν εὕροι τις εὐσημότερα. καὶ πάλιν ἄλλας τινὰς λέξεις ἐπ' ἄλλων πραγμάτων κειμένας ἐπ' ἄλλα μετατέθεικεν. οἷόν ἐστι καὶ τοῦτο, φλέγμα κακὸν φορέουσα, ὃ σημαίνει τὴν κατὰ τὸ φλέγειν ἐνέργειαν. καὶ τὸν πυρετὸν, ἀντὶ τοῦ πυρός. οἷς ὅμοιόν ἐστι καὶ τὸ χαλκοτύπους ὠτειλάς. βούλεται γὰρ εἰπεῖν τὰς ὑπὸ τοῦ χαλκοῦ τετυπωμένας. καὶ ὅλως πολλῇ τῇ καινότητι κέχρηται μετὰ πολλῆς τῆς ἐξουσίας, τὰ μὲν ἐξαλλάσσων

ξίφος, ἀσπίδα. Pariter admiratione dignum est, quod vulgares voces apud eum orationis gravitatem retinent. Cæterum quoniam ornata oratio a communi consuetudine discedit, unde et evidentior, gravior, ac modis omnibus jucundior fit, atque verborum immutatio, tropus, sententiarum autem, schema vocatur, horum denique species in arte dicendi perscriptæ sunt: videamus num horum aliquid ab Homero prætermissum sit, numve aliud quiddam a posteris inventum sit, quod ille non prius dixerit.

Inter tropos igitur Onomatopœia admodum illi familiaris est. Noverat enim priscam nominum originem, quod hi, qui primitus nomina rebus indiderant, pleraque ab eventu appellassent, et inarticulatas voces in scripta retulissent, ut cum dicerent, φυσᾷν, τρίζειν, μυκᾶσθαι, βροντᾷν et his similia. Unde et ipse quædam nomina prius non extantia ita finxit, ut conformia essent rebus per ipsa significatis. cujusmodi est, quum ait, δοῦπον, ἄραβον, βόμβον, ῥόχθει, ἀνέβρυχε, σίζε, aliaque istiusmodi, quibus nemo significantiora invenerit. Est rursus ubi alias voces ad alias res pertinenteis, aliis tribuit, ut quum dicit, *Malum incendium ferens*, efficaciam in conflagrando significans. Et dum febrem pro igne proponit. Quibus et hoc affine est, *Vulnera ferro percussa*, ferro namque inflicta significare vult. Denique ut summatim omnia complectar, multa verborum novitate, multa cum licentia usus est, alia quidem præter

a *Barnesius* hoc verbo indicari putat librum de arte Rhetorica, nominatim *Dionysii* τέχνην, et vel hinc intelligi hunc libellum esse Dionysii Halic. quod mihi non videtur. Intelligit auctor potius artem ipsam rhetoricam: ut dicimus; hæc traduntur in arte, i. e. ab iis, qui artem vel voce vel literis tradunt. Nec in τέχνῃ Dionysii de tropis eorumque variis formis agitur.

b Τρίζειν,] Secutus sum *Barnesium* sic corrigentem veterem lectionem πρίζειν. Nam desideratur verbum exprimens sonum.

παρὰ τὴν συνήθειαν, τὰ δὲ εὐσημότερα καθιςὰς ἕνεκα τῦ κάλλος καὶ μέγεθος ἐμποιεῖν τοῖς λόγοις.

Πολλὴ δέ ἐςιν αὐτῷ καὶ τῶν ἐπιθέτων εὐπορία, ἅπερ οἰκείως καὶ προςφυῶς τοῖς ὑποκειμένοις ἡρμοσμένα, δύναμιν ἴσην ἔχει τοῖς κυρίοις ὀνόμασιν, ὥςπερ τῶν θεῶν ἑκάςῳ ἰδίαν τινὰ προςηγορίαν προςτίθησι, τὸν Δία μητιέτην καὶ ὑψιβρεμέτην, καὶ τὸν Ἥλιον ὑπερίονα, καὶ τὸν Ἀπόλλωνα Φοῖβον καλῶν. μετὰ δὲ τὴν ὀνοματοποιΐαν ἴδωμεν καὶ τὰς ἄλλας τρόπους.

Κατάχρησις μὲν δὴ (ἥπερ ἀπὸ τῦ κυρίως δηλεμένε μεταφέρει τὴν χρῆσιν καὶ ἐφ' ἕτερον, ἐκ ἔχον ὄνομα κύριον) ἐςὶ παρὰ τῷ ποιητῇ, ὅταν λέγῃ σειρὴν χρυσείην· σειρὰ γὰρ κυρίως ἐπὶ τῦ σχοινίε τάσσεται· καὶ ὅταν εἴπῃ, αἰγείην κυνέην. ἡ μὲν γὰρ περικεφαλαία κέκληται κυνέη παρ' αὐτῷ, ἐπεὶ ἐκ δέρματος κυνὸς γενέσθαι αὐτὴν ἔθος ἦν. ἐνταῦθα δὲ καὶ τὴν ἐξ αἰγὸς δέρματος γινομένην καλεῖ.

Μεταφορὰ δὲ (ἥπερ ἐςὶν ἀπὸ τῦ κυρίως δηλεμένε πράγματος ἐφ' ἕτερον μετενηνεγμένη, μετὰ τῆς ἀμφοῖν ἀναλόγε ὁμοιότητος) καὶ πολλή ἐςι, καὶ ποικίλη παρ' αὐτῷ. οἷον ἐςιν· Ἧκεν ἀποῤῥήξας κορυφὴν ὄρεος μεγάλοιο· καὶ, Νῆσος τὴν πέρι πόντος ἀπείριτος ἐςεφάνωται. ὃν γὰρ λόγον ἔχει κορυφὴ πρὸς ἄνθρωπον, τῦτον καὶ ἡ ἀκρώρεια πρὸς τὸ ὄρος. καὶ ὃν ςέφανος πρὸς τῦτον, ὃν περίκειται, τὸν αὐτὸν θάλασσα πρὸς νῆσον. ἀλλὰ τὸ χρήσασθαι τοῖς ὁμοίοις ἀντὶ τῶν κυρίων ὀνόμασιν εὐειδέςερον, καὶ ἐναργέςερον ποιεῖ τὸν λόγον.

Εἰσὶ δὲ παρ' αὐτῷ μεταφοραὶ ποικίλαι, αἱ μὲν ἀπὸ ἐμψύχων ἐπὶ ἔμψυχα. οἷον, Φθέγξατο δ' ἡνίοχος νηὸς κυανοπρώροιο,

consuetudinem immutans, alia vero eam ob causam insigniora reddens, ut orationi decus et magnificentiam adderet.

Præterea epithetorum copia illi est. quæ proprie, et suo loco subjectis accommodata, vim propriis nominibus æquipollentem habent: ut quum singulis Diis singulas appellationes attribuit, Jovem *consultum, altitonantem*, et Solem *sublimem*, et Apollinem *splendidum* vocans. Jam absoluta Onomatopœia. alios quoque tropos videamus.

Abusio quidem (quæ usum ex eo, in quo aliquid proprie significatur, in aliud, proprium nomen non habens, transfert) apud poëtam est, ubi ait, catenam auream. Σειρὰ namque funiculum proprie denotat. Et ubi dicit, caprinam galeam: siquidem galea ideo apud eum κυνέη appellatur, quod ea olim ex canina pelle conficeretur. Ibi vero et eam galeam caninam vocat, quæ ex caprina pelle facta erat.

Translatio autem (quæ inde nomen sortita est, quod rem a propria significatione in aliam, cum conveniente utriusque rei similitudine transferat) et multa, et varia apud illum est, ut illud: *Contulit huc fracto se magni vertice montis.* Et: *Insula, quam pontus circumluit, atque coronat.* Quam enim rationem vertex in homine, eam et cacumen in monte: et quam corona ad eum, cui imponitur, eandem et mare ad insulam habet. Porro affinibus, pro propriis nominibus utens, orationem non solum speciosiorem, verum etiam evidentiorem facit.

Sunt autem variæ apud eum metaphoræ, quædam ab animatis ad animata, ut:

ἀντὶ τȣ̃ ναύτης. καὶ Βῆ δὲ μετ' 'Ατρείδην 'Αγαμέμνονα ποιμένα λαῶν, ἀντὶ τȣ̃ βασιλέα. αἱ δὲ ἀπὸ ἐμψύχων ἐπὶ ἄψυχα, οἷον, ὑπαὶ πόδα νείατον Ἴδης, τὴν ὑπώρειαν. καὶ ȣ̃θαρ ἀρȣ́ρης, τὸ γόνιμον. ἀπὸ δὲ ἀψύχων ἐπὶ ἔμψυχα, οἷον σιδήρειον νύ τοι ἦτορ, ἀντὶ τȣ̃ σκληρὸν. ἀπὸ δὲ ἀψύχων ἐπὶ ἄψυχα, οἷον Σπέρμα πυρὸς σώζων, ἀντὶ τȣ̃ γόνιμον ἀρχήν. ὥσπερ δὲ ὀνομάτων, ȣ̔́τω καὶ ῥημάτων εἰσὶ παρ' αὐτῷ μεταφοραὶ, οἷον, 'Ηϊόνες βοόωσιν ἐρευγομένης ἁλὸς ἔξω, ἀντὶ τȣ̃ ἠχȣ̃σιν.

Ἕτερος τρόπος ἐςὶν ἡ καλȣμένη μετάληψις, κατὰ συνωνυμίαν σημαίνȣσα πρᾶγμα διάφορον. οἷον, Ἔνθεν δ' αὖ νήσοισιν ἐπιπροέηκε θοῇσι. βȣ́λεται γὰρ σημῆναι τὰς κυρίως ὀξείας λεγομένας νήσȣς. ἐπεὶ συνωνυμεῖ τὸ θοὸν τῷ ὀξεῖ. ὀξὺ δὲ ȣ̓ μόνον τὸ κατὰ κίνησιν ταχύ ἐςιν, ἀλλὰ καὶ τὸ κατὰ σχῆμα προηγȣ́μενον εἰς λεπτότητα. τοιȣ̃τόν ἐςι καὶ τό· ἐγὼ δὲ θόωσα παρας άς.

Ἄλλος τρόπος συνεκδοχὴ λεγομένη ἀπὸ τȣ̃ κυρίως σημαινομένȣ ἕτερόν τι τῶν ὑπὸ τὸ αὐτὸ γένος ὄντων παριςῶσα. καὶ ἔςιν ὁμοίως ὁ τρόπος ȣ̂τος ποικίλος. ἐκδεχόμεθα γὰρ ἤτοι ἀπὸ τȣ̃ ὅλȣ τὸ μέρος, οἷον· πρὸς τεῖχος ἐΰδμητον βόας αὔας. ἀπὸ γὰρ τῶν βοῶν τὰς βύρσας, ἐξ ὧν ἀσπίδες, δηλȣ̃ν βȣ́λεται· ἢ ἀπὸ μέρȣς τὸ ὅλον, οἷον, Τοίην δ' αὖ κεφαλὴν ποθέω. [a] ἀπὸ γὰρ τῆς κεφαλῆς τὸν ἄνδρα σημαίνει. καὶ ὅταν λέγῃ λευκώλενον τὴν καλὴν, καὶ εὐκνήμιδας τȣ̀ς εὐόπλȣς. ἢ ἀπὸ ἑνὸς τὰ πολλὰ, ὡς ὅταν εἴπῃ ἐπὶ τȣ̃ 'Οδυσσέως· ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσεν. ȣ̓ γὰρ μόνος,

Cæruleæ navis sic est auriga locutus. Pro eo quod est, navita. Item: *Ivit ad Atridem pastorem mox populorum.* Pro eo quod est, regem. Aliæ autem ab animatis ad inanimata, ut: *Sub extremum Idæ pedem,* hoc est, radices. Item: *uber agri,* id est, fertilitas. Aliæ e contra ab inanimatis ad animata, veluti *ferreum profecto pectus,* id est, durum. Postremo ab inanimatis ad inanimata, ut *semen ignis servans,* hoc est naturalem originem. Porro sicuti nominum, ita et verborum translationes apud eum sunt, ut, *Littora namque boant, feriente salo, atque procellis.* Pro sonant.

Alius deinde tropus, quæ *Transumptio* vocatur, fit quando per cognominationem res diversa significatur, ut: *Inde velocibus insulis immisit abunde.* Insulas enim, quæ proprie appellantur *acutæ*, significare vult. Ejusdem namque significantiæ utraque vox Græcis est. Acutum namque illis non solum velocitatem motus significat, sed, etiam id cujus forma tendit in tenuitatem. Istiusmodi et hoc est: *Ego autem festinans astiti.*

Alius tropus *Intellectio* vocatur, quando ex eo, quod proprie significatur, aliud quiddam ejusdem generis intelligitur. Estque simili modo varius; aut enim ex toto partem intelligimus, ut, *ad murum bene structum boves torridos.* Boum namque appellatione, corium, ex quo scuta fieri solent, innuere vult. Aut ex parte totum, ut: *hujusmodi autem caput desidero.* Siquidem voce capitis, totum hominem significat. Et quando pro pulchra, *candidis ulnas præditam,* et pro bene armatis, *bene ocreatos* dicit. Aut ab uno multa, ut quando ita de solo Ulysse dicit, *Postquam sacrum Trojæ oppidum devastavit.* Neque enim ille solus, sed una cum aliis Græcis Trojam

a Ap. ipsum poëtam Od. α'. 346. est: τοίην γὰρ etc.

ἀλλὰ σὺν τοῖς ἄλλοις Ἕλλησι τὴν Τροίαν ἐπόρθησεν. ἀπὸ δὲ τῶν πολλῶν τὸ ἕν, οἷον· στήθεά θ' ἱμερόεντα. τουτέστι τὸ στῆθος. ἀπὸ δὲ εἴδους γένος, Μαρμάρῳ ὀκρυόεντι βαλών. εἶδος γὰρ λίθου ὁ μάρμαρος· ἀπὸ δὲ γένους, τὸ εἶδος. οἷον, Ὄρνιθας γνῶναι, καὶ ἐναίσιμα μυθήσασθαι. καὶ γὰρ οὐ πάντας, ἀλλὰ τοὺς μαντικοὺς ὄρνιθας εἰπεῖν βούλεται. ἀπὸ δὲ τῶν παρεπομένων τὴν πρᾶξιν, οἷον, Πάνδαρος, ᾧ καὶ τόξον Ἀπόλλων αὐτὸς ἔδωκεν. ἀπὸ γὰρ τοῦ τόξου, τὴν περὶ τὸ τόξον ἐμπειρίαν δηλοῖ. καὶ, Ἑζόμενοι λεύκαινον ὕδωρ, καὶ Οἱ δὲ πανημέριοι σεῖον ζυγόν. ἀπὸ γὰρ τοῦ συμβαίνοντος ἐπὶ μὲν τοῦ προτέρου τὸ ἤλαυνον, ἐπὶ δὲ τοῦ δευτέρου τὸ ἔτρεχον δηλοῖ. ἀπὸ δὲ τοῦ προηγουμένου, τὸ ἀκόλουθον, λῦσε [a] παρθενικὴν ζώνην. ἀκολουθεῖ γὰρ τούτῳ τὸ διεκόρευσεν. ἀπὸ δὲ τοῦ ἀκολούθου, τὸ προηγούμενον, ὡς ὅταν ἐναρίζειν λέγει τὸ φονεύειν, ἀντὶ τοῦ σκυλεύειν.

Ἐστὶ δὲ καὶ ἄλλος τρόπος ἡ μετωνυμία, λέξις ἐπ' ἄλλου κυρίως κειμένη, ἄλλο δὲ κατὰ ἀναφορὰν σημαίνουσα. οἷόν ἐστι παρ' αὐτῷ· Ἦμος ὅτ' αἰζηοὶ Δημήτερα βωλοτομεῦσι· [b] *τὸν γὰρ πύρινον καρπὸν δηλοῖ, ἀπὸ τῆς εὑρούσης Δήμητρος ὀνομάσας, καὶ ὅταν εἴπῃ, Σπλάγχνα δ' ἄρ' ἐμπείραντες, ὑπείρεχον Ἡφαίστοιο· ἐν γὰρ τῷ Ἡφαίστου ὀνόματι, τὸ πῦρ λέγει. ὅμοιον δέ ἐστι τοῖς εἰρημένοις καὶ τοῦτο· ὅς κεν ἐμῆς γε χοίνικος ἅπτηται. λέγει γὰρ τὰ ἐμπεριεχόμενα ἐν τῇ χοίνικι.*

Ἔτι δὲ καὶ ἄλλος τρόπος ἡ ἀντωνομασία, λέξις δι' ἐπιθέτων, ἢ συσσήμων, ὄνομα ἴδιον σημαίνουσα, ὡς ἐν τούτῳ· Πηλείδης δ' ἐξαῦ-

evertit. E contra ex multis unum, ut *Pectora jucunda,* pro pectus. Præterea ex specie genus, ut *marmore aspero jacto.* Marmor namque saxi species est. Aut e contra ex genere species, ut: *Noscere aves, et idonea dicere multa roganti.* Siquidem non quasvis, sed augurales tantum aves dicere vult. Ad hæc ex adjunctis effectum rei, ut: *Pandarus, huic dono dedit arcum Phœbus Apollo.* Arcus enim nomine jaculandi peritiam notat; et: *Sedentes dealbabant aquam,* et: *Alii vero tota die jugum movebant.* Ex accidenti namque in priori exemplo, remigabant, in posteriori autem, currebant, intelligi debet. Insuper ex præcedenti consequens, ut: *Virgineam solvit zonam.* ex eo namque sequitur, quod vitiaverit. E contra ex consequenti præcedens, ut quando pro occidere dicit, *exarmare,* id est, spoliare.

Est autem et alius tropus *Denominatio,* quæ fit, quando vox de alia re posita, aliud quiddam secundum relationem significat, ut est apud eundem, *Cum juvenes terræ Cererem concidere pergunt.* Triticeum namque fructum designat, quem sic ab inventrice Cerere denominavit. Et ubi ait: *Viscera Vulcanum super ut transfixa tenebant.* Vulcani namque voce ignem declarat. Porro affine jam dictis et hoc est: *Qui meam chœnicem attigerit.* ea namque, quæ in chœnice continentur, innuit.

Præterea et alius tropus, *Pronominatio* vocatur, et fit, quum epithetum, aut consignificativum pro proprio nomine accipitur, ut, *Æacides Atriden rursus voce petulca*

a Παρθενικὴν] Edd. omnes Homer. habent παρθενίην, Od. λ'. 244.

b Hic versus nec in Iliade nec in Odyssea hodie extat: cum cætera fere inde sumta sint.

τις ἀταρτηροῖς ἐπέεσσιν Ἀτρείδην προσέειπε. Δηλοῖ γὰρ διὰ τούτων τόν τε Ἀχιλλέα, καὶ τὸν Ἀγαμέμνονα. καὶ πάλιν· Θάρσει Τριτογένεια, φίλον τέκος. καὶ ἐν ἄλλοις, Φοῖβος ἀκερσεκόμης. τὸ μὲν γὰρ τὴν Ἀθηνᾶν, τὸ δὲ, τὸν Ἀπόλλωνα δηλοῖ.

Ἔστι καὶ ἡ ἀντίφρασις λέξις, τὸ ἐναντίον, ἢ τὸ παρακείμενον σημαίνουσα, ὡς ἐν τούτῳ. Οὐδ' ἄρα τώ γε ἰδὼν γήθησεν Ἀχιλλεύς. Βούλεται γὰρ εἰπεῖν τὸ ἐναντίον, ὅτι ἰδὼν αὐτοὺς ἐλυπήθη.

Ἔστι καὶ ἡ ἔμφασις, ἥπερ δι' ὑπονοίας ἐπίτασιν τοῦ λεγομένου παρίστησιν, οἷον Αὐτὰρ ὅτ' εἰς ἵππον κατεβαίνομεν, ὃν κάμ' Ἐπειός. ἐν γὰρ τῷ κατεβαίνομεν, τὸ μέγεθος τοῦ ἵππου ἐμφαίνει. ὅμοιον δὲ κἀκεῖνο· πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι. καὶ γὰρ ἐν τούτῳ παρέχει μείζονα ἔμφασιν, ὡς βαπτισθέντος οὕτω τοῦ ξίφους, ὥστε θερμανθῆναι. Τοιοίδε μὲν οἱ τῶν λεγομένων τρόποι, ὑπὸ Ὁμήρου πεποιημένοι.

Ἴδωμεν δὲ καὶ τὰς τῆς συντάξεως ἐκτροπὰς, τὰ καλούμενα σχήματα, εἰ καὶ ταῦτα πρῶτος Ὅμηρος ὑπέδειξε. τὸ δὲ σχῆμά ἐστι λόγος ἐξηλλαγμένος τοῦ ἐν ἔθει κατά τινα πλάσιν, κόσμου ἢ χρείας χάριν. κάλλος μὲν γὰρ τοῖς λόγοις περιτίθησι διὰ τῆς ποικιλίας, καὶ μεταβολῆς λόγου, καὶ σεμνοτέραν ἀπεργάζεται τὴν φράσιν. χρείαν δὲ εἰς τὸ ἐξᾶραι καὶ ἐπιτεῖναι τὰς ποιότητας, καὶ δυνάμεις τῶν πραγμάτων.

Τῶν δὲ σχημάτων τὰ μὲν κατὰ πλεονασμὸν ποιεῖ, ἐνίοτε μὲν διὰ τὸ μέτρον, ὡς ἐν τούτῳ· Χρυσοῦ δὲ στήσας Ὀδυσσεὺς δέκα πάντα τάλαντα. τὸ γὰρ πάντα μηδὲν συντελοῦν ἔγκειται. ἔστι δὲ ὅτε κόσμου χάριν· Ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱός. τὸ γὰρ μάλα πλεονάζει κατὰ συνήθειαν ἀττικήν.

Increpuit. Per hæc enim Achillem, et Agamemnonem intelligit. Et rursus: *Sis animo fidens Tritonia, filia chara.* Et in aliis, *Phœbus intonsus.* illic enim Minervam, hic vero Apollinem denotat.

Est et Antiphrasis, dictio quæ contrarium, quam præ se fert, significat. ut in hoc, *Hos ubi conspexit, non est lætatus Achilles.* Contrarium enim dicere vult, nempe quod his conspectis indoluerit.

Est et *Emphasis,* quæ animi cogitatione vehementiam dicto addit, ut: *Ast in equum descendentes, quem struxit Epeus.* Dum enim inquit, *descendentes,* equi magnitudinem declarat. Simile autem et illud est, *Totus vero gladius sanguine incaluit.* per hoc enim majorem emphasin ostendit, quod ait ensem adeo sanguine tinctum fuisse ut incaluerit. Hujusmodi quidem tropi ab Homero ficti sunt.

Videamus autem et constructionis mutationes, quæ figuræ appellantur, num et has Homerus primus invenerit. Porro *Figura* est sermo a communi consuetudine recedens, ornatus, seu utilitatis gratia, secundum quandam fictionem mutatus. Dicendi namque varietas orationem non solum venustiorem, sed etiam stylum graviorem efficit. Utilis autem est quod rerum qualitatem ac vim extollit, intenditque.

Inter schemata autem *pleonasmo* nonnunquam metri causa utitur, ut in hoc: *Auri autem appendens Ulysses decem tota talenta.* nam vox *omnia,* nihil ad sensum faciens, adjicitur. Est etiam quando ornatus causa fit: ut, *Certe omnino mortuus est Menœtii strenuus filius.* vox namque *μάλα Omnino* Attica consuetudine abundat.

Ἄλλοτε δὲ διὰ πλειόνων λέξεων τὸ σημαινόμενον ἀποδίδωσιν, ὃ καλεῖται περίφρασις, ὡς ὅταν λέγῃ, υἷας Ἀχαιῶν τοὺς Ἀχαιούς· καὶ βίην ἡρακλείην τὸν Ἡρακλέα.

Καὶ τὰ τοιαῦτα δὲ κατὰ ἐναλλαγὴν σχηματίζει, τὴν εἰθισμένην τάξιν ἀναστρέφων. Καὶ ἤτοι ἐν μέσῳ λέξιν ἐντιθεὶς, ὃ καλεῖται ὑπερβατὸν, ὡς ἐν τούτῳ· Αἱματόεις, ὡς τίς τε λέων κατὰ ταῦρον ἐδηδώς. ἀντὶ τοῦ λέων ταῦρον κατεδηδώς. καὶ λέξιν μὲν οὕτως ὑπερβιβάζει. ἐνίοτε δὲ καὶ ὅλον λόγον, ὡς ἐν τούτῳ· Ἀργεῖοι δὲ μέγ' ἴαχον, ἀμφὶ δὲ νῆες Σμερδαλέον κονάβησαν ἀϋσάντων ὑπ' Ἀχαιῶν, Μῦθον ἐπαινήσαντες Ὀδυσσῆος θείοιο. τὸ δὲ ἑξῆς ἐστίν· Ἀργεῖοι δὲ μέγ' ἴαχον, μῦθον ἐπαινήσαντες Ὀδυσσῆος θείοιο.

Τοῦ δ' αὐτοῦ εἴδους ἔχεται καὶ ἡ καλουμένη παρεμβολὴ, ὅταν ἔξωθέν τινα μηδὲν προσήκοντα τοῖς προκειμένοις ἐμβάληται, ἃ κἂν ἐξέλῃ τις, οὐδὲν τῆς συντάξεως ἀφαιρεῖ, οἷόν ἐστι· Ναὶ μὰ τόδε σκῆπτρον, τὸ μὲν οὔποτε φύλλα, καὶ ὄζους Φύσει, ἐπειδὴ πρῶτα τομὴν ἐν ὄρεσσι λέλοιπεν, Οὐδ' ἀναθηλήσει. περὶ γάρ ῥά ἑ χαλκὸς ἔλεψε. καὶ τὰ ἑξῆς, ὅσα περὶ τοῦ σκήπτρου λέγει. εἶτα ἐπιφέρει τὸ ἀκόλουθον τῇ ἀρχῇ· Ἦ ποτ' Ἀχιλλῆος ποθὴ ἵξεται υἷας Ἀχαιῶν.

Ἐστὶ παρ' αὐτῷ καὶ ἡ Παλιλλογία, ἐπανάληψις οὖσα μέρους τινὸς λόγου, ἢ πλειόνων λέξεων ἐπαναλαμβανομένων, ὃ καὶ ἀναδίπλωσις καλεῖται, οἷόν ἐστι· Τοῦ δ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν, Εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ. Ποτὲ δὲ παρεντιθεμένων ἄλλων τινῶν, καὶ τῶν αὐτῶν πάλιν [a] ἀναλαμβανομένων, ὡς ἐν τῷ· Ἀλλ' ὁ μὲν αἰθίοπας μετεκίαθε τηλόθ' ἐόν-

Nonnunquam vero pluribus vocibus significatum refert, quæ figura *Circuitio* appellatur: ut quum dicit, *Filios Achivorum*, pro Achivos: et *vim Herculeam*, id est Herculem.

Talia vero per *mutationem* figurate dicit, dum consuetam structuram invertit, et aut vocem in medio interponit, quæ figura *Transgressio* vocatur, ut in hoc: *Haud secus atque leo de taurum pascit obesum:* pro eo quod est, leo taurum depascit. Ac vocem quidem sic transgreditur; aliquando vero totam orationem, ut in hoc: *Filii Achivorum clamant, ac personat omne Navigium, vocem dum tollit Achiva juventus, Applaudens verbis, quæ fecit divus Ulysses.* Ordo namque est: Argivi multum clamabant, divini Ulyssis orationem commendantes.

Ejusdem speciei figura est, quæ *Interpositio* vocatur, et fit quando extrinsecus quædam nihil ad institutum pertinentia interseruntur, quæ etsi quis eximat, tamen constructioni nihil decedit, ut est illud: *Juro per hoc sceptrum, quod nec folia ulla, nec ullos Ramos producet, postquam trunco illud ademptum, Florescet neque; nam quod ferrum rasit acutum, etc.* quæcunque de sceptro dicit. Tandem principio quadrans, infert: *Certe olim cupiet Peliden turba Pelasga.*

Est autem apud eum et *Palillogia*, hoc est, repetitio alicujus partis orationis, aut plurium vocum, quæ repetuntur. quæ figura et Reduplicatio vocatur, ut est: *Huic adversus eo, quamvis sit flammea dextra. Flammea dextra licet, vis ignea denique ferri.* Aliquando vero interseruntur alia quædam, et eadem rursus repetuntur, ut in hoc:

a Ἀναλαμβανομένων,] Sic bene correxit *Barnesius* pro ἀντιλαμβανομένων; mox est ἐπαναλαμβανομένων, et figura hæc est ἐπανάληψις.

τας, Αἰθίοπας, τοὶ διχθὰ δεδαίαται ἔσχατοι ἀνδρῶν. Ἔςι δὲ τὸ σχῆμα κίνησιν ἐμφαῖνον τȣ̃ λέγοντος, καὶ ἅμα κινȣ̃ν τὸν ἀκροατήν.

Τȣ̃ αὐτȣ̃ γένȣς ἐςὶ καὶ ἡ Ἐπαναφορὰ, ὅταν ἐν ἀρχῇ πλειόνων κώλων ταὐτὸ μόριον ἐπαναλαμβάνηται. τȣ́τȣ δὲ παράδειγμα παρὰ τῷ ποιητῇ· Νιρεὺς δ' αὖ Σύμηθεν ἄγε τρεῖς νῆας ἐΐσας, Νιρεὺς Ἀγλαΐης υἱὸς, Χαροποῖό τ' ἄνακτος, Νιρεὺς, ὃς κάλλιςος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθεν. καὶ ἔςιν ὁμοίως τὸ σχῆμα οἰκειότατον κινήσεως καὶ εὐεπείας.

Ἐςὶ παρ' αὐτῷ καὶ ἡ Ἐπάνοδος, ἥπερ ἐςὶν, ὅταν δύο πράγματα καὶ ὀνόματα προτιθείς τις, μήπω τȣ̃ νȣ̃ πέρας ἔχοντος, ἐπανίῃ ἐφ' ἑκάτερον τῶν ὀνομάτων, ἀποδιδȣ̀ς τὸ τῆς διανοίας ἐλλιπὲς, ὡς ἐν ἐκείνῳ· Ἄρης τε βροτολοιγὸς, Ἔρις τ' ἄμοτον μεμαυῖα. Ἡ μὲν ἔχȣσα κυδοιμὸν ἀναιδέα δηϊοτῆτος, Ἄρης δ' ἐν παλάμῃσι πελώριον ἔγχος ἐνώμα. ἔργον δὲ τȣ̃ σχήματος ποικιλία καὶ σαφήνεια.

Ὑπάρχει δὲ Ὁμοιοτέλευτον σχῆμα παρ' αὐτῷ, ἐν ᾧ τὰ κῶλα εἰς ὁμοίας τῶν ἤχων λέξεις τελευτᾷ, τὰς αὐτὰς συλλαβὰς ἐν τοῖς πέρασιν ἔχοντα, οἷόν ἐςι· Χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν. καὶ ἐν ἐκείνῳ· Οὔλυμπονδ', ὅθι φασὶ θεῶν ἕδος ἀσφαλὲς αἰεὶ Ἔμμεναι, ȣ̈τ' ἀνέμοισι τινάσσεται, ȣ̈τέ ποτ' ὄμβρῳ Δεύεται, ȣ̈τε χιὼν ἐπιπίλναται, ἀλλὰ μάλ' αἴθρη Πέπταται ἀνέφελος, λευκὴ δ' ἐπιδέδρομεν αἴγλη. Ὅταν δὲ εἰς ὀνόματα ὁμοίως κλινόμενα λήγωσιν αἱ περίοδοι, ἢ τὰ κῶλα, καὶ ταῦτα εἰς πτώσεις ὁμοίας, ὁμοιόπτωτον τȣ̃το ἰδίως ὀνομάζεται, οἷόν ἐςιν· Ἠΰτε ἔθνεα εἶσι μελισσάων ἀδινάων, Πέτρης ἐκ γλαφυρῆς αἰεὶ

Ille quidem Æthiopas adiit, procul inde colentes, Æthiopas reliquis divisos partibus orbis. Porro figura hæc non solum dicentis affectum declarat, sed etiam auditorem movet.

Ejusdem generis est et *Relatio*, cum ab initio plurium membrorum eadem particula repetitur, cujus exemplum apud poëtam hoc est: *Nireus deinde rates ex Syma tres agit æquas, Nireus Aglaïæ gnatus, Charopique potentis, Nireus ad Trojam quo non formosior alter.* Estque similiter et hæc figura affectui movendo, et suaviloquentiæ perquam familiaris.

Est præterea apud eum et *Regressio*, quæ fit, quando duas res et nomina proponens aliquis, sensu nondum finito, ad utrumque nominum redit, ac sententiæ defectum complet, ut in illo: *Mars homicida, dea et Contentio litigiosa, Hæc etiam turbas ciet, ac hostilia multa, Mars autem manibus prægrandem concutit hastam.* Officium autem schematis istius est, orationem variegatam et perspicuam reddere.

Ad hæc schema apud illum est, *Similiter desinens*, in quo membra in voces sono similes desinunt, easdem in fine syllabas habentes, ut est: *Præsentem hospitio excipies mittesque volentem.* Et in illo: *Fertur olympus, ubi sedes siet alta deorum, Nec vento, pluviæque siet penetrabilis unquam, Quem super alta cadat nec nix, sed lucidus aër Panditur, hunc itidem splendor super emicat albus.* Quando vero in nomina, quæ similiter declinantur, periodi seu membra desinunt, idque in eodem casu fit, *Similiter cadens* proprie appellatur, ut est: *Gens ut apum si quando frequens venit, atque cavernis Egreditur, semper veniente examine magno.* Prædicta vero et his similia.

νέον ἐρχομενάων. τὰ δὲ εἰρημένα, καὶ τὰ τοιαῦτα, μάλιστα προστίθησι τῷ λόγῳ χάριν καὶ ἡδονήν. δεῖγμα δὲ τῆς περὶ σύνθεσιν φιλοτεχνίας, ὅτι καὶ πολλάκις καὶ δυσὶ σχήμασιν ἐν τοῖς αὐτοῖς ἔπεσι κέχρηται, τῇ τε ἐπαναφορᾷ, καὶ τῷ ὁμοιοτελεύτῳ, ὡς ἐν ἐκείνῳ· Εὖ μέν τις δόρυ θηξάσθω, εὖ δ' ἀσπίδα θέσθω· Εὖ δέ τις ἵπποισι δεῖπνον δότω ὠκυπόδεσσι.

Τούτων ἔχεται κἀκεῖνο τὸ σχῆμα τὸ καλούμενον Πάρισον, ὃ γίνεται ἐκ δυοῖν ἢ πλειόνων κώλων, ἴσας ἀλλήλαις τὰς λέξεις ἐχόντων. καὶ τοῦτο δὲ πρῶτος Ὅμηρος ἐποίησεν εἰπών· Αἴδεσθεν μὲν ἀνήνασθαι, δεῖσαν δ' ὑποδέχθαι. καὶ πάλιν, Μηνιθμὸν μὲν ἀποῤῥίψαι, φιλότητα δ' ἑλέσθαι. καὶ τοῦτο δὲ, ὅτι πολὺν ἔχει τῆς φράσεως κόσμον, εὔδηλον. τῆς δὲ ὁμοίας χάριτος ἔχεται καὶ ἡ παρονομασία, ὅταν παρὰ τὸ προκείμενον ἕτερον ὄνομα ἐμφερὲς τεθῇ εὐθὺς κατὰ σύμμετρον διάστημα, οἷόν ἐστιν· Οὐδὲ γὰρ οὐδὲ Δρύαντος παῖς, κρατερὸς Λυκόεργος. καὶ ἐν ἄλλῳ· Τῶν ἦτοι Πρόθοος θοὸς ἡγεμόνευσεν.

Καὶ τὰ μὲν προειρημένα ἤτοι κατὰ πλεονασμὸν, ἢ κατά τινα ποιὰν πλάσιν σχηματίζεται. ἄλλα δὲ κατὰ ἔνδειαν λέξεως, ὧν ἐστιν ἡ καλουμένη Ἔλλειψις, ὅταν καὶ ἄνευ τοῦ ῥηθῆναί τινα λέξιν ἐκ τῶν προειρημένων ἡ διάνοια φαίνηται, οἷόν ἐστι· Δώδεκα δὲ σὺν νηυσὶ πόλεις ἀλάπαξ' ἀνθρώπων. Πεζὸς δ' ἕνδεκα φημί. Λείπει γὰρ τὸ ἀλαπάξαι, νοεῖται δὲ ἐκ τῶν προειρημένων. κἀκεῖνο δὲ λέγεται κατὰ ἔλλειψιν· Εἷς οἰωνὸς ἄριστος ἀμύνασθαι περὶ πάτρης· ἐνδεῖ γὰρ τὸ ἐστί· καὶ, Ὢ πόποι, ἦ μοι ἄχος μεγαλήτορος Αἰνείαο. Λείπει γὰρ τὸ πάρεστιν, ἢ συμβέβηκεν, ἤ τι τοιοῦτον. τοιοῦτόν ἐστι καὶ τὸ Ἀσύνδετον, ὁπόταν ἐξαίρονται οἱ σύνδεσμοι οἱ συν-

multum gratiæ et voluptatis orationi addunt. Cæterum specimen industriæ suæ circa compositionem dedit, quod sæpenumero duabus etiam figuris in iisdem versibus est usus, nempe *epanaphora*, et *simililer desinente*, ut in illo: *Belle quisque acuat telum, belle et sibi scutum Ponat, et inde suis det pabula grata caballis.*

Sub his illud schema continetur, quod *Compar* appellatur, fitque ex duobus, aut pluribus membris, pares inter se voces habentibus. Hujus vero Homerum primum autorem esse constat. dicit enim inter cætera, *Veriti quidem sunt abnuere, timuerunt autem suscipere.* Quod vero et hæc figura multum ornatus in dicendo habeat, nemini obscurum est. Porro eandem gratiam et *Agnominatio* habet, quando præter nomen, de quo agitur, aliud ei simile statim modico spacio subjungitur, ut est: *Non siquidem hoc valuit validus rex ille Lycurgus.* Et in alio, *Queis Prothous celer imperitabat.*

Cæterum prædicta aut per pleonasmum, aut per alium quempiam schematismum figurate dicuntur: alia vero per verbi defectum. quorum e numero et hæc figura est, qui *Defectus* appellatur, quando etiam omissa aliqua voce sensus ex prædictis patet, ut est: *Excidique hominum duodenas navibus urbes, Undenas autem affirmo cum Marte pedestri.* Deest enim, *vastasse:* intelligitur autem ex prædictis. Illud etiam per defectum dicitur, *Optima avis charam patriam defendere ferro.* Deest enim verbum, *est.* Et *Eheu magnanimi dolor Æneæ mihi certe,* Subauditur enim, *adest,* seu *accidit,* aut simile quiddam. Hujusmodi est et *Dissolutio,* quando conjunctiones locutionem conjungentes tolluntur. Quod non solum celeritatis, sed etiam empha-

δέοντες τὴν φράσιν, ὅπερ ȣ̓ μόνον τάχȣς, ἀλλὰ καὶ ἐμφάσεως παθητικῆς χάριν γίνεται, οἷόν ἐςι τȣ̃το· Ἤιομεν, ὡς ἐκέλευες, ἀνὰ δρυμὰ, φαίδιμ' Ὀδυσσεῦ, Εὕρομεν ἐν βήσσῃσι τετυγμένα δώματα Κίρκης. Ἐν τȣ́τοις γὰρ ὁ καὶ σύνδεσμος ἐξῄρηται, τὸν τάχιςον τρόπον τῆς ἀπαγγελίας ζητȣ̃ντος τȣ̃ λέγοντος.

Ἔςιν ἐν τοῖς σχήμασι, καὶ τὸ καλȣ́μενον ἀσύντακτον, ὃ καὶ Ἀλλοίωσις καλεῖται, ἐπειδὰν ἡ συνήθης τάξις ἀλλοία γένηται, καὶ ἔςι ποικίλη, ἕνεκα τȣ̃ κόσμου ἢ χάριν ἐμποιεῖν τοῖς λόγοις τῆς μὲν συνήθȣς τάξεως ȣ̓ δοκȣ́σης ἀκολȣθεῖν, ἐπί τι δὲ ἴδιον ἀναφορᾶς ἐχȣ́σης ἀκολȣθίαν.

Συμβαίνει δὲ πολλαχῶς ἐπὶ τὰ γένη τῶν ὀνομάτων ἐναλλασσομένων, οἷόν ἐςι τό· κλυτὸς Ἱπποδάμεια, ἀντὶ τȣ̃ κλυτή. καὶ θῆλυς ἐέρση, ἀντὶ τȣ̃ θήλεια. σύνηθες γὰρ ἦν τοῖς παλαιοῖς χρῆσθαι τοῖς ἀρσενικοῖς, καὶ ἀντὶ τῶν θηλυκῶν, ὡς κρείττοσι, καὶ δυνατωτέροις, ȣ̓κ ἀμέτρως μέντοι, ȣ̓δ' ἀλόγως, ἀλλ' ὅταν δέῃ χρῆσθαι ὀνόματι ἐπιθέτῳ, ἐκτὸς ὄντι τȣ̃ σώματος περὶ ȣ̃ ἐςὶν ὁ λόγος. ἐκεῖνο μὲν γάρ ἐςι περὶ τὸ σῶμα, ὁ μέγας, ἡ μεγάλη, ὁ καλὸς, ἡ καλὴ, καὶ τὰ τοιαῦτα· ἐκτὸς δὲ, οἷον ἔνδοξος, εὐτυχής. καὶ ἔτι ταῦτα διὰ τὸ σύνθετον ἐπαμφοτερίζει. καὶ γὰρ καθολικῶς πάντα τὰ σύνθετα κοινά ἐςιν ἑκατέρȣ γένȣς, καὶ ὅταν κοινῶς ἀρρενικῷ καὶ θηλυκῷ ὀνόματι ἐπιφέρηται ῥῆμα, ἢ μετοχὴ, τὸ ἀρρενικὸν ἐπικρατεῖ, ὡς ἐν τȣ́τῳ· Παρθενικαί τε, καὶ ἠΐθεοι ἀταλὰ φρονέοντες.

Τινὰ δὲ καὶ παρὰ τὴν τῶν διαλέκτων ἰδιότητα ἢ τὴν τότε συνήθειαν λέγεται διαφόρως, οἷόν ἐςιν· Ἔχει δέ τε κίονας αὐτὸς μακράς. Πολλάκις δὲ καὶ μέτρȣ χάριν ἐναλλάσσει τὰ γένη· ὡς ἐν τȣ́τῳ, Δῶρόν τοι καὶ ἐγὼ, τέκνον φίλε, τȣ̃το δίδωμι. τὸ μὲν

sæos affectu plenæ gratia fit, quemadmodum illud: *Per querceta tuo jussu penetramus Ulysses, Ædiculas Circæ deprendimus hic fabrefactas.* In his enim, et conjunctio sublata est, dum is, qui dicit, brevissimum enunciationis modum quærit.

Est inter schemata etiam id, quod *Incongruum*, seu *Variatio* appellatur, et fit dum consueta structura mutatur, et varia redditur, ut oratio a vulgari constructione discedens eo majorem gratiam ac elegantiam habeat: ita tamen ut illius ordo quiddam proprium habeat, ad quod referatur.

Contingit autem sæpenumero, ut nominum genera commutentur, ut est illud: *Inclytus Hippodamia*, pro inclyta. Et, *fœminea* ros, pro fœmineus. Veteribus namque familiare fuit, masculinis pro fœmininis tanquam potioribus et vehementioribus uti. Nec vero sine modo citraque rationem hoc fecerunt, sed quando adjectivo nomine utendum fuit, quod extra corpus erat, de quo mentio fiebat. illa namque circa corporis dotes versantur, magnus magna, pulcher pulchra, et istiusmodi. Hæc autem ad animi bona pertinent, ut gloriosus, fortunatus. Atque hæc etiam in compositione ambigua sunt. Etenim in universum omnia composita utrique generi communia sunt. Ad hæc quando simul masculino et fœminino nomini verbum seu participium infertur, ibi tum masculinum prævalet, ut in hoc: *Virgineum decus, ac juvenes puerilia amantes.*

Quædam etiam præter dialectorum proprietatem, seu morem tum consuetum, aliter ab eo dicuntur: ut est, *Ipse habet egregios valde, longosque columnas.* Sæpenumero autem et metri causa genera commutat: sicuti in hoc, *Dono tibi hoc donum,*

γὰρ τέκνον οὐδέτερον ὄνομα, ἐπήνεγκε δὲ ἀρσενικὸν τὸ φίλε, πρὸς τὸ πρόσωπον ἀποτείνας τὸν λόγον. ὅμοιόν ἐστι καὶ τὸ ἀπὸ τῆς Διώνης πρὸς τὴν Ἀφροδίτην εἰρημένον. Τέτλαθι τέκνον ἐμὸν, καὶ ἀνάσχεο κηδομένη περ. τῆς δὲ αὐτῆς ἀναλογίας κἀκεῖνο ἔχεται, Ἦλθε δ' ἐπὶ ψυχὴ Θηβαίου Τειρεσίαο, Σκῆπτρον ἔχων. τὸ γὰρ ἔχων, οὐ πρὸς τὴν ψυχὴν, ἀλλὰ πρὸς τὸ γένος τοῦ σώματος, τουτέστι πρὸς τὸν Τειρεσίαν, ἥρμοσε. πολλάκις γὰρ οὐ πρὸς τὸν λόγον, ἀλλὰ πρὸς τὸ σημαινόμενον ποιεῖται τὴν ἀπάντησιν. ὡς ἐν τούτῳ· Πᾶσιν ὀρίνθη θυμὸς, ἐκίνηθεν δὲ φάλαγγες, Ἐλπόμενοι παρὰ ναῦφιν ἀμύμονα Πηλείωνα. Τὸ γὰρ ἐλπόμενοι, οὐχ αἱ φάλαγγες, ἀλλ' οἱ ἄνδρες, ἐξ ὧν αἱ φάλαγγες συνεστᾶσι. Καὶ κατ' ἄλλον δὲ τρόπον τὰ γένη ἐξαλλάσσει· ὡς ὅταν εἴπῃ, Νεφέλη δέ μιν ἀμφιβέβηκε κυανέη, τὸ μὲν οὔποτ' ἐρωεῖ. ἐπεὶ γὰρ συνωνύμως λέγεται νεφέλη, καὶ νέφος, προειπὼν τὴν νεφέλην, ἐπήνεγκε τὸ οὐδέτερον, νέφος. ὅμοια δ' ἐστὶ τούτῳ κἀκεῖνα τὰ ἔπη· Τῶν δ' ὥστ' ὀρνίθων πετεηνῶν ἔθνεα πολλὰ, Χηνῶν, ἢ γεράνων, ἢ κύκνων δουλιχοδείρων, Ἔνθα καὶ ἔνθα ποτῶνται ἀγαλλόμεναι πτερύγεσσι. Προθεὶς γὰρ οὐδετέρως τὸ γενικὸν τῶν ὀρνίθων ὄνομα, εἶτα [a] θηλυκῶς εἰπὼν τὰ εἰδικὰ, ἐπήνεγκε πάλιν οὐδετέρως τὸ κλαγγηδὸν προκαθιζόντων, ἀποδιδοὺς τὸ οἰκεῖον τῷ γενικῷ ὀνόματι τῶν ὀρνίθων.

Ἅμα δὲ τῷ γένει, καὶ τοὺς ἀριθμοὺς ἐναλλάσσει πολλάκις ὁ ποιητὴς, λέγων· Ἡ πληθὺς ἐπὶ νῆας Ἀχαιῶν ἀπονέοντο. Προθεὶς γὰρ ἑνικὸν, ἐπήγαγε τὸ πληθυντικὸν, δηλονότι πρὸς τὸ σημαι-

mi charissime τέκνον *nate.* Siquidem τέκνον nomen neutrius generis est, cui adjectivum masculinum *chare* intulit, dum vocem ad personam refert. Simile est et illud, quod a Dione ad Venerem dicitur, *Nata fer, atque animo duro tolerato dolores.* Ejusdem autem proportionis et illud est, *Tiresiæ advenit Thebani vatis imago, Sceptra tenens.* Participium namque ἔχων, non ad umbram, sed ad genus corporis, hoc est, ad ipsum Tiresiam, accommodavit. Sæpe enim non ad vocem, sed ad sensum respicit, ut in hoc: *Omnibus est animus motus, motæque phalanges, Æaciden cupiunt, qui naves desidet altas.* Non enim phalanges, sed viri, unde illæ constant, Achillem desiderabant. Præterea et secundum aliam mutationem, genera permutat, ut quum dicit: *Cærula contexit nebula hunc, immobile perstans.* Quum enim nebula et nubes ejusdem significantiæ sint, et modo de nebula locutus esset, νέφος, quod neutrius generis apud Græcos est, intulit. Similia autem huic et illa carmina sunt: *Ut volucrum istarum volitant examina multa, Strymoniæque grues, anser, colloque superbus Albus olor gaudent alis hinc inde volant quum.* Etenim quum generale avium nomen in neutro genere præmisisset, ac deinde illarum species in masculino subjunxisset, rursus neutraliter infert, nempe *cum strepitu desidentium:* reddens videlicet id, quod generali avium nomini familiare est.

Non solum autem genus, sed et numerum poëta sæpe commutat, dicens: *Turba rates Græcas adeunt, permagna frequensque.* Singulari enim supposito, plurale ap-

a Θηλυκῶς] *Barnesius* scribendum putat ἀρσενικῶς, et versio lat. edd. vett. habet *masculino:* velut de nominibus animalium versu secundo memoratorum loqueretur scriptor; ego θηλυκῶς verum puto et pertinere ad ἀγαλλόμεναι, quod refertur ad ὀρνίθων.

νόμενον ἀναφέρων. ἐπειδήπερ ἡ πληθὺς τὴν μὲν προσηγορίαν ἐςὶν ἑνικὸν, πολλὰς δ' ἐν αὐτῷ περιείληφεν. Ἐκ τȣ̃ ἐναντίȣ δέ ἐςι τὸ ὅμοιον, ἐπειδὰν προτεθέντος τȣ̃ πληθυντικȣ̃ τὸ ἑνικὸν ἐπενεχθῇ, ὡς ἐν τȣ́τῳ· Οἱ ἄλκιμον ἦτορ ἔχοντες, Πρόσσω πᾶς πέτεται. τὸ γὰρ πᾶς, τῷ λόγῳ ἑνικόν ἐςι, τέτακται δὲ ἐπὶ πλήθȣς, ἴσον δυνάμενον τῷ πάντες. τῆς δὲ αὐτῆς τȣ̃ σχήματος ἰδέας ἐςὶ κἀκεῖνο· Οἱ δὲ Πύλον Νηλῆος ἐϋκτίμενον πτολίεθρον Ἷξον, τοὶ δ' ἐπὶ θινὶ θαλάσσης ἱερὰ ῥέζον. Νοȣ̃νται γὰρ οἱ Πύλιοι.

Περὶ δὲ τὰς πτώσεις γίνεται ἀλλοίωσις παρ' αὐτῷ, εὐθείας μὲν καὶ κλητικῆς ἐναλλασσομένης, ἐν τοῖς τοιȣ́τοις· Αὐτὰρ ὁ αὖτε Θυέςʼ Ἀγαμέμνονι λεῖπε φορῆναι. Καὶ, νεφεληγερέτα Ζεύς. καὶ, Δὸς φίλος, ȣ̓ γάρ μοι δοκέεις ὁ κάκιςος Ἀχαιῶν. γενικῆς δὲ καὶ δοτικῆς ἐν τοῖς τοιȣ́τοις, Τρωσὶ μὲν προμάχιζεν Ἀλέξανδρος θεοειδής. ἀντὶ τȣ̃ Τρώων. καὶ ἐκ τȣ̃ ἐναντίȣ, Ἡ δ' αὐτȣ̃ τετάνυςο περὶ σπεῖος γλαφυροῖο, ἀντὶ τȣ̃ περὶ σπέϊ. καὶ τȣ́των δέ ἐςιν ἡ αἰτία αὕτη, ὅτι συγγένειάν τινα ἐδόκȣν ἔχειν πρὸς ἀλλήλας ἥ τε εὐθεῖα, καὶ αἰτιατικὴ, καὶ κλητική· διὸ καὶ ἐν τοῖς ȣ̓δετέροις εἰσὶν αἱ αὐταὶ, καὶ ἐν πολλοῖς τῶν ἀῤῥενικῶν καὶ θηλυκῶν, ἥτε εὐθεῖα, καὶ ἡ αἰτιατικὴ, καὶ κλητικὴ ἡ αὐτή ἐςιν. ὁμοίως δὲ καὶ ἡ γενικὴ πρὸς τὴν δοτικὴν ἔχει τινὰ συγγένειαν. ταῦτα δὲ ἐν τοῖς δυϊκοῖς ἀριθμοῖς ἐπὶ πάντων τῶν ὀνομάτων εὑρίσκεται. ὅθεν εἰκότως παρὰ τὴν συνήθειαν τὰς πτώσεις ἐναλλάσσει. ἐνίοτε δὲ καὶ λόγȣς ἐςὶν εὑρεῖν τῆς ἐξαλλαγῆς, ὡς ἐν τῷ, ἐπιςάμενοι πεδίοιο. καὶ τὸ, διέπρησσον πεδίοιο, ἴσον τῷ ἐπέρων διὰ τȣ̃ πεδίȣ. εὖ δὲ ἔχει παρ' αὐτῷ ἡ τῶν πτώσεων μεταβολὴ ἐν ἀρχῇ

positum subdidit, dum videlicet sensum magis quam vocem respicit. Siquidem vox multitudo, appellatione quidem singularis numeri est, multos autem in se complectitur. Simile autem a contrario est, quando supposito plurali, singulare appositum infertur, ut in hoc: *Et habentes pectora magna Quisque volat prorsum.* Quisque enim voce quidem singularis numeri est, dum autem ad multitudinem refertur, idem pollet quod Omnes. Eandem schematis formam et illud habet: *Hi Pylon attingunt, Neleia mœnia clara, Hi maris ad littus rem divinam faciebant.* Pylii namque intelliguntur.

Fit apud eum et casuum mutatio, ut quum nominativus et vocativus in talibus commutantur: *At Thyesta Agamemnoni gestandum relinquit.* Et, *Nubium congregator Jupiter.* Et, *Da mihi charus, et haud deterrimus inter Achivos.* Genitivus autem et dativus in hujusmodi mutatur, *Prima acie certat Phrygibus Paris optimus ille.* Pro eo quod est, Phrygum. Et e contra, *Hæc extenta jacet juxta spelæa cavata*, pro, circa speluncam. Atque mutationis istius causa est, quod nominativus, accusativus, et vocativus quandam inter se cognationem habere videantur, propterea quod nomina neutrius generis, et pleraque masculina, ac fœminina, tres istos similes casus habeant. Similiter autem et genitivus cum dativo quandam affinitatem habet, idque in duali omnium vocum numero deprehenditur. Quo fit, ut et Homerus casus haud immerito præter consuetudinem mutet. Nonnunquam autem et rationes est invenire istius mutationis, ut in hoc: *Scientes campi.* et, *Pertransibant campum.* perinde namque est, ac si diceres, transibant per campum. Belle autem et ca-

ἑκατέρων τῶν ποιήσεων, ἐν αἷς προθεὶς τὴν αἰτιατικὴν, ἐπήνεγκε τὴν εὐθεῖαν, εἰπών· Μῆνιν ἄειδε θεὰ, ἣ μυρί’ Ἀχαιοῖς ἄλγε’ ἔθηκε. καὶ, Ἄνδρα μοι ἔννεπε Μοῦσα πολύτροπον, ὃς μάλα πολλὰ πλάγχθη. ἔστι δὲ ὅτε τῇ γενικῇ τὴν εὐθεῖαν ἐπιφέρει. ὡς ἐν τούτῳ, Τῶν οἳ νῦν βροτοί εἰσι. πολλὰ δὲ καὶ ἑτέρως σχηματίζει. ὡς ἐν τῷ· Φημὶ γοῦν κατανεῦσαι ὑπερμενέα Κρονίωνα, Ἤματι τῷ, ὅτε νηυσὶν ἐπ’ ὠκυπόροισιν ἔβαινον Ἀργεῖοι, Τρώεσσι φόνον καὶ κῆρα φέροντες, Ἀστράπτων ἐπιδέξι’, ἐναίσιμα σήματα φαίνων. τούτῳ δὲ ὅμοιόν ἐστι κἀκεῖνο· Ὁδ’ ἀγλαΐηφι πεποιθὼς, Ῥίμφα ἑ γοῦνα φέρει. καὶ ταῦτα δὲ ἐξήνεγκε κατά τινα ἀρχαϊκὴν συνήθειαν. καὶ οὐδὲ ταῦτα ἀλόγως. εἰ γάρ τις τὰς μετοχὰς ἀναλύσει εἰς ῥήματα, εὕροι ἂν τὸ ἀκόλουθον. τὸ γὰρ ἀστράπτων ἴσον ἐστὶ τῷ ἤστραπτε. καὶ τὸ πεποιθὼς τῷ ἐπεὶ πέποιθε. τούτοις ἐστὶ κἀκεῖνα παραπλήσια, Οἱ δὲ δύο σκόπελοι, ὁ μὲν οὐρανὸν εὐρὺν ἱκάνει. καὶ, Τὼ δὲ διακρινθέντε, ὁ μὲν μετὰ λαὸν Ἀχαιῶν Ἤιε, ὁ δ’ ἐς Τρώων ὅμαδον κίε. καὶ τὰ τοιαῦτα. οὐκ ἄλογον γὰρ τὸν μέλλοντα περὶ δυοῖν τινῶν λέγειν, προτάξαι τὴν εὐθεῖαν πτῶσιν, καὶ τὸ κοινὸν αὐτῶν ἑκατέρῳ φυλάξαντα, ἀπεργάζεσθαι κοινὸν τοῦ λόγου. ὅτι δὲ τὸ κοινὸν τοῦ λόγου χάριν πολλὴν ἐπιφαίνει, πρόδηλον. ἔστι δὲ ὅπου τὴν κοινὴν πτῶσιν προθεὶς, τὸν περὶ ἑνὸς ἐπιφέρει λόγον, ὡς ἐν τούτῳ· Ἄμφω δ’ ἑζομένω γεραρώτερος ἦεν Ὀδυσσεύς.

Καὶ τὰ εἴδη δὲ τῶν ὀνομάτων ἐξαλλάσσει, πολλάκις μὲν τὸ συγκριτικὸν τιθεὶς ἀντὶ τοῦ ἁπλοῦ, ὡς ἐξ ὑπερβολῆς τὸ σαώτερος ὥς κε νέηαι. ποτὲ δὲ τὸ ὑπερθετικὸν ὁμοίως ἀντὶ τοῦ ἁπλοῦ, ὡς τό· δικαιότατος Κενταύρων· τοιαύτη μὲν ἡ ἐξαλλαγὴ ἐν τοῖς ὀνόμασιν.

suum permutatio apud illum habet, in utriusque poëmatis exordio, in quibus accusativo præposito, rectum intulit, dicens: *Iram pande Dea, etc. Magnorum fuerat quæ causa dolorum.* Et, *Dic mihi Musa virum vafrum, qui multa per orbem Erravit.* Est etiam quando genitivo rectum infert, ut in hoc: *Horum nunc homines qui sunt.* Multa dehinc et alio modo figurate dicit, quemadmodum est hoc: *Prædixisse Jovem affirmo, dicoque nuisse, Hocce die naves scandebunt quando marinas Argivi, exitium Trojæ, fatumque ferentes, Fulgura disjiciens felicia, prospera signa.* Huic autem nec illud est dissimile: *Et fretus nobilitate Festinanter eum portant sua genua.* Atque hæc secundum veterem consuetudinem extulit, idque non sine ratione. Si enim quis participia in verba dissolvat, rationem deprehenderit. Siquidem fulgurans idem pollet quod fulgurabat: et fretus, idem quod, cum fretus esset. His et illa sunt affinia: *Hæque duæ rupes, quarum una polum attigit altum.* Et: *Hi duo discreti, quorum alter adibat Achivos, Alter at in turbam Phrygiam veniebat.* Non enim ratione caret, si quis de duobus aliquibus dicturus, nominativum casum præponat, et eo, quod utrique ipsorum commune est, observato, novum orationis genus efficiat. Quod autem novitas orationis multum gratiæ habeat, nemini obscurum est. Denique est et ubi casu communi præposito, sermonem de uno infert, sicut in hoc: *Ambo sedentes venerabilior erat Ulysses.*

Nominum autem species immutat, dum sæpenumero comparativum pro absoluto ponit, quemadmodum hoc per superlationem: *Sanior ut redeas.* Nonnunquam vero superlativum itidem pro positivo, sicuti hoc: *Justissimus Centaurorum.* Hujusmodi quidem nominum mutatio est.

'Εν δὲ τοῖς ῥήμασι γίνεται ἐξαλλαγὴ, τῶν μὲν ἐγκλίσεων, ὡς ὅταν τὸ ἀπαρέμφατον ἀντὶ τοῦ προστακτικοῦ καταληφθῇ· οἷον· Θαρσῶν νῦν Διόμηδες ἐπὶ Τρώεσσι μάχεσθαι, ἀντὶ τοῦ μάχου. ἢ τὸ ὁριστικὸν ἀντὶ τοῦ εὐκτικοῦ· οἷον· Πληθὺν δ' οὐκ ἂν ἐγὼ μυθήσομαι, οὐδ' ὀνομήνω, ἀντὶ τοῦ μυθησαίμην καὶ ὀνομήναιμι. καὶ ἐκ τοῦ ἐναντίου, εὐκτικὸν ἀντὶ ὁριστικοῦ, οἷον· Καί νύ κεν ἔνθ' ἀπόλοιτο ἄναξ, ἀντὶ τοῦ ἀπώλετο. Τῶν δὲ χρόνων ὅταν ὁ ἐνεστὼς ἀντὶ τοῦ μέλλοντος τεθῇ, ὡς ἐν τούτῳ· Τὴν δ' ἐγὼ οὐ λύσω πρίν μιν καὶ γῆρας ἔπεισιν, ἀντὶ τοῦ ἐπελεύσεται. ἢ ἀντὶ τοῦ παρῳχηκότος· Ἔνθ' ἤτοι πλυνοὶ ἦσαν ἐπηετανοὶ, πολὺ δ' ὕδωρ Καλὸν ὑπεκπρορέει, ἀντὶ τοῦ ἔρρεε. ἢ μέλλων ἀντὶ τοῦ ἐνεστῶτος· Οἱ μὲν δυσομένου Ὑπερίονος, οἱ δ' ἀνιόντος. ἢ ἀντὶ τοῦ παρῳχηκότος· Δείδω μὴ δὴ πάντα θεὰ νημερτέα εἴπῃ, ἀντὶ τοῦ εἶπε.

Καὶ διαθέσεις δὲ ἐναλλάσσονται παρ' αὐτῷ πολλάκις, καὶ τίθεται ἀντὶ ἐνεργητικῶν παθητικὰ, ἢ μέσα, οἷον· Ἕλκετο δ' ἐκ κολεοῖο μέγα ξίφος, ἀντὶ τοῦ εἷλκε. καὶ, καθορώμενος Αἴας, ἀντὶ τοῦ ὁρῶν. καὶ τοὐναντίον τὸ ἐνεργητικὸν ἀντὶ τοῦ παθητικοῦ· [a] Δωρήσω τρίποδα χρυσούατον, ἀντὶ τοῦ δωρήσομαι.

Ἔστι δὲ ἰδεῖν, ὅπως καὶ τοὺς ἀριθμοὺς ἐναλλάσσων, τὸν πληθυντικὸν ἀντὶ τοῦ ἑνικοῦ τίθησιν, ὡς πολλάκις ἐν τῇ συνηθείᾳ, εἴ τις περὶ ἑαυτοῦ λέγων, οἷον· Τῶν ἀμόθεν γε θεὰ θύγατερ Διὸς εἰπὲ καὶ ἡμῖν, ἀντὶ τοῦ ἐμοί.

Γίνεται δὲ παρ' αὐτῷ καὶ κατὰ πρόσωπα μεταβολὴ, καθ' ἕνα μὲν τρόπον οὕτως· Ἄλλοι μὲν γὰρ πάντες, ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ, Σοί τ' ἐπιπείθονται, καὶ δεδμήμεσθα ἕκαστος. πολλῶν

Cæterum modi verborum sic variantur, ut infinitivus pro imperativo accipiatur, veluti: *Tydides alacris Trojas pugnare feroces.* pro impugna. Aut indicativus pro optativo, ut: *Nihil de plebe loquar multa, nec eam recitabo,* pro dixerim et nominaverim multitudinem. Et e contra, optativus pro indicativo, veluti: *Mavors hic periat,* pro periisset. Temporum deinde variatio fit, quando præsens pro futuro ponitur, ut in hoc: *Hanc ego non dimittam, quin prius ipsa senescat.* pro senescet. Aut pro præterito, ut: *Isthic sunt equidem bona balnea, fonsque perennis Profluit.* Pro eo quod est, profluebat. Aut futurum pro præsenti, ut: *Occubituro alii sole, ast alii redeunte.* Aut præteriti vice, ut: *Metuo ne dea dicat omnia vera.* pro dixerit.

Dispositiones quoque sæpius apud eum mutantur, et passiva aut media pro activis ponuntur, veluti: *Traxit e vagina magnum gladium,* pro traxit. et *Visus Ajax,* pro videns. Et e contra activum pro passivo, ut: *Donabo tripodem, cui aureum manubrium,* pro donabitur tripes.

Est etiam cernere, quo pacto numeros immutans, pluralem pro singulari ponit, id quod sæpe usu venit, dum quis de se loquitur, veluti: *Nata Jovis dea, quando voles hæc dicito nobis.* Pro mihi.

Fit autem apud illum et personarum mutatio, idque uno quidem modo sic: *Cælicolæ quotquot sunt, cuncti jussa capessunt, O divine pater, tua, præsto itidem sumus omnes.* Multi namque cum dii essent, inter quos et ea persona erat, quæ verba facie-

a Δωρήσω] Nec hoc in Il. aut Od. reperitur.

γὰρ ὄντων τῶν θεῶν, ἐν οἷς ἐστὶ τὸ λέγον πρόσωπον, ἑκάτερον καλῶς ἐξενήνοχε, τό, τε πείθονται, καὶ τὸ δεδμήμεσθα. Καθ' ἕτερον δὲ τρόπον, ὅταν τὸ νῦν ἐάσας, ἀφ' ἑτέρου ἐφ' ἕτερον πρόσωπον μεταβῇ, ὅπερ ἰδίως ἀποστροφὴ καλεῖται. τῷ δὲ μιμητικῷ κινεῖ καὶ ἄγει τὸν ἀκροώμενον. οἷόν ἐστι καὶ τοῦτο· Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο μακρὸν ἀΰσας Νηυσὶν ἐπισσεύεσθαι, ἐᾶν δ' ἔναρα βροτόεντα· Ὃν δ' ἂν ἐγὼν ἀπάνευθε νεῶν ἑτέρωσε νοήσω. ἀπὸ γὰρ τοῦ διηγηματικοῦ μετέβαλεν εἰς τὸ μιμητικόν. καὶ ἐν αὐτῷ δὲ τῷ διηγηματικῷ πολλάκις χρῆται τῇ ἀποστροφῇ· Ἀμφὶ σε, Πηλέος υἱὲ, μάχης ἀκόρητοι Ἀχαιοί. ἀλλὰ καὶ ἐν τῷ μιμητικῷ χρῆται καὶ μεταβολῇ τῶν προσώπων, ὡς ἐν τούτῳ· Ἦ δὴ παισὶν ἐοικότες ἠγοράασθε Νηπιάχοις, οἷς οὔτι μέλει πολεμήϊα ἔργα. Ἀτρείδη, σὺ δέ θ', ὡς πρὶν, ἔχων ἀστεμφέα βουλὴν, Ἄρχευ' Ἀργείοισι κατὰ κρατερὰς ὑσμίνας. Καὶ ἕτερον δὲ εἶδος ἀποστροφῆς ἐστὶ τοιοῦτον· Τυδείδην δ' οὐκ ἂν γνοίης ποτέροισι μετείη. ἔστι γὰρ ἀντὶ τοῦ, οὐκ ἄν τις γνοίη. καὶ πάλιν· Ὀδμὴ δ' ἡδεῖα ἀπὸ κρητῆρος ὀδώδει Θεσπεσίη, τότ' ἂν οὔτι ἀποσχέσθαι φίλον ἦεν. καὶ μετοχαῖς δὲ χρῆται ἀντὶ ῥημάτων, ὡς ἐν τῷ, ἐνὶ κήπῳ Καρπῷ βριθομένη, ἀντὶ τοῦ βρίθεται. καὶ, Ἔνθ' οἵ γ' εἰσέλασαν πρὶν εἰδότες. ἀντὶ τοῦ πρὶν εἰδέναι. καὶ τὰ ἄρθρα δὲ ἐναλλάσσει πολλάκις, ἀντὶ τῶν ὑποτακτικῶν τοῖς προτακτικοῖς χρώμενος, οἷον· Τοὺς ἔτεκε Ζεφύρῳ ἀνέμῳ ἅρπυια Ποδάργη, καὶ θώρηχ'· ὃ γὰρ ἦν οἱ ἀπώλεσε πιστὸς ἑταῖρος· καὶ τοὐναντίον.

Οὕτω καὶ τὰς προθέσεις εἴωθε μεταλλάσσειν· Χθιζὸς ἔβη μετὰ δαῖτα, ἀντὶ τοῦ ἐπὶ δαῖτα. καὶ, Νοῦσον ἀνὰ στρατὸν ὦρσε κακήν. Ὁμοίως καὶ προθέσει πτῶσιν ὀνόματος οὐκ οἰκείαν ἐπιφέρει, ὡς ἐν τούτῳ· Μήπως καὶ διὰ νύκτα μενοινήσωσι μάχεσθαι, ἀντὶ

bat, utrumque belle extulit, et Jussa capessunt et Præsto sumus. Alio autem modo, missa facta ea persona, de qua loquebatur, ab altera ad alteram transit, id quod *Aversio* proprie vocatur. Atque per imitationem auditorem et movet et ducit, quemadmodum hoc est: *Hector voce jubet clara Teucros agitare Naves, exuviasque sinant ut quisque cruentas. Quem vero ratibus cernam procul ire relictis.* A narratione namque transitum fecit ad imitationem. In ipsa etiam narratione apostropha sæpe utitur: *Circa te Danaos retines Pelida feroces.* Verum et per imitationem, mutatione personarum utitur, sicuti in illo: *Revera pueris par est hæc concio vestra Insipidis, quibus haud curæ sunt bellica facta. Ast Atrida, prius veluti consultus eras, nunc Præcipe Grajugenis quo pacto pugna incunda.* Est et alia aversionis species hujusmodi: *Nescires utris Tydides junctus adesset.* Pro aliquis nesciret. Et rursus: *Suavis odor, divinus item, fragrabat ab illo Cratere, nec ibi non inde haurire placeret.* Participiis etiam verborum loco utitur, ut in hoc: *In horto fructu gravatus,* pro gravatur. et: *Ibi illi incurrerunt priusquam scientes:* pro Priusquam scirent. Articulos quoque sæpe commutat, pro postpositivis præpositivos usurpans, veluti: *Edidit hos Zephyro vento olim harpyia Podarge.* Et, *Thoracem. suum enim perdiderat fidus socius.*

Ad hunc modum et Præpositiones commutare solet, ut: *Hesterna luce ivit post convivium,* pro ad convivium. et: *Morbum per exercitum excitavit nocentem.* Similiter et præpositioni casum nominis non proprium infert, ut in isto: *Ne forte etiam*

τȣ͂, διὰ νυκτός. ἐνίοτε δὲ ἀφαιρεῖ τὰς προθέσεις· οἷον, Τῆς ὅ γε κεῖτ᾽ ἀχέων, ἀντὶ τȣ͂, περὶ ἧς. καί· ποτιδέγμενος, εἴ τι μιν εἴπῃ, ἀντὶ τȣ͂ προσείπῃ. καὶ ἄλλας προθέσεις ὁμοίως, τὰς μὲν ὑπαλλάσσει, τὰς δὲ ἀφαιρεῖ, καὶ ἐπιρρήματά τινα ἐναλλάσσει, τοῖς εἰς τόπον, καὶ τοῖς ἐν τόπῳ, καὶ τοῖς ἐκ τόπȣ ἀδιαφόρως χρώμενος· Υἱωνοὶ δ᾽ ἑτέρωσε κάθιζον,[a] ἀντὶ τȣ͂ ἑτέρωθι. καὶ, Αἴας δ᾽ ἐγγύθεν ἦλθεν, ἀντὶ τȣ͂ ἐγγύς. Ἐςὶ δὲ παρ᾽ αὐτῷ καὶ ἡ τῶν συνδέσμων ἐναλλαγή. οἷον, Εὐνῇ δ᾽ ȣ̓́ποτ᾽ ἔμικτο, χόλον δ᾽ ἀλέεινε γυναικὸς, ἀντὶ τȣ͂ χόλον γὰρ ἀλέεινε γυναικός. Ταῦτα μὲν δὴ κατὰ λέξιν ἐςὶ σχήματα· οἷς καὶ ἄλλοι πάντες ȣ̓ μόνον ποιηταὶ, ἀλλὰ καὶ πεζῶν λόγων συνθέται κέχρηνται.

Ἔςι δὲ καὶ ἡ διάνοια παρ᾽ αὐτῷ πολλοῖς εἴδεσιν ἐσχηματισμένη. ὧν ἐςὶ καὶ ἡ προαναφώνησις, ἥτις γίνεται, ὅταν τις διηγȣ́μενος μεταξὺ, τὸ ἐν ἑτέροις τάξιν ἔχον τȣ͂ ῥηθῆναι προλέγῃ, ὡς ἐν τȣ́τῳ· Ἤτοι ὀϊςȣ͂ γε πρῶτος γεύσεσθαι ἔμελλεν. καὶ ἡ ἐπιφώνησις, οἷόν ἐςι, ῥεχθὲν δέ τε νήπιος ἔγνω.

Ἔςι καὶ τὸ τῆς προσωποποιΐας παρ᾽ αὐτῷ πολὺ, καὶ ποικίλον. πολλὰ μὲν γὰρ καὶ διάφορα πρόσωπα εἰσάγει διαλεγόμενα, οἷς καὶ ἤθη παντοῖα περιτίθησιν, ἐνίοτε δὲ καὶ τὰ μὴ ὄντα πρόσωπα ἀναπλάσσει. οἷον, Ἦ κε μέγ᾽ οἰμώξειε γέρων ἱππηλάτα Πηλεύς.

Ἔςι δὲ καὶ ἡ διατύπωσις ἐξεργασία πραγμάτων, ἢ γενομένων, ἢ ὄντων, ἢ πραχθησομένων, εἰς τὸ παραςῆσαι ἐναργέςερον τὸ λεγόμενον, ὡς ἐν τȣ́τῳ· Ἄνδρας μὲν κτείνȣσι, πόλιν δέ τε πῦρ ἀμαθύνει,

propter noctem conentur pugnare. Pro, per noctem. Nonnunquam vero præpositiones aufert, ut: *Cujus is jacet dolens,* pro de qua. et: *Expectant nunquid ipsum loquatur,* pro alloquatur. Ad hæc alias præpositiones simili modo partim commutat, partim tollit. Etiam adverbia quædam mutat, iis quæ ad locum significant, in loco, et de loco, indifferenter utens. *Nepotes autem alio considebant,* pro alibi. et: *Ajax autem de propinquo venit,* pro eo quod est prope. Est denique apud illum et conjunctionum immutatio, veluti: *Nunquam vero cum illa concubuerat: iram vero mulieris declinabat:* pro eo quod est, iram namque mulieris declinabat. Atque hæc quidem dictionis schemata sunt, quibus non solum poëtæ, verum etiam orationis solutæ scriptores usi sunt.

Cæterum multæ species schematum sententiæ apud illum sunt, quarum est et *Præexclamatio,* quæ fit, quando aliquis inter narrandum hoc prædicit, quod in aliis dicendi locum habet, sicut in hoc: *Et quidem sagittam primus gustaturus erat,* et Adclamatio, cujusmodi est: *Stultus post factum sapit.*

Est et *personæ fictio* apud eum, et varia. Multas enim et diversas personas colloquentes introducit, quibus et omnimodos mores attribuit. Nonnunquam vero personas etiam, quæ non sunt, fingit, ut: *Haud dubium Peleus lacrimas effuderit amplas.*

Est autem et *Expressio* accurata tractatio rerum aut factarum, aut quæ fiunt, aut futurarum, ut id, quod dicitur, evidentius reddat, veluti in hoc: *Mactant hicce viros, perduntque suburbia flammis, Hic pueros ducunt, hic captivas mulieres.* Aut ad mo-

a Ap. Homerum Il. ύ. 151. unde hoc sumtum, est modo, οἱ δ᾽ ἑτέρωσε.

Τέκνα δέ τ᾽ ἄλλοι ἄγουσι, βαθυζώνους τε γυναῖκας. ἢ πρὸς τὸ οἶκτον κινῆσαι, Δύσμορον, ὅν ῥα πατὴρ Κρονίδης ἐπὶ γήραος οὐδῷ Αἴσῃ ἐν ἀργαλέῃ φθίσει κακὰ πόλλ᾽ ἐπιδόντα, Υἷάς τ᾽ ὀλλυμένους, ἑλκυσθείσας τε θύγατρας, Καὶ θαλάμους κεραϊζομένους, καὶ νήπια τέκνα Βαλλόμενα προτὶ γαίῃ ἐν αἰνῇ δηϊοτῆτι.

Ἔστι καὶ εἰρωνία παρ᾽ αὐτῷ, λόγος διὰ τοῦ ἐναντίου δηλῶν τὸ ἐναντίον, μετά τινος ἠθικῆς ὑποκρίσεως. οἷόν ἐστι τὸ τοῦ Ἀχιλλέως· Ἀλλ᾽ Ὀδυσεῦ σὺν σοί τε καὶ ἄλλοισι βασιλεῦσι Φραζέσθω νήεσσιν ἀλεξήσειν δήϊον πῦρ. —— ὁ δ᾽ Ἀχαιῶν ἄλλον ἑλέσθω, Ὅς τις οἷ γ᾽ ἐπέοικε, καὶ ὃς βασιλεύτερός ἐστιν. ἐμφαίνει γὰρ ὅτι οὐκ ἂν ἕτερον εὕροι βασιλικώτερον. καὶ οὗτος μὲν ὁ τρόπος ἐστὶν, ὅταν περὶ ἑαυτοῦ λέγῃ τις εὐτελῶς, ἵνα τὴν ἐναντίαν δόξαν παράσχῃ. ἕτερος δὲ, ὅταν τις ἄλλως ἐπαινεῖν προσποιῆται, τῇ ἀληθείᾳ ψέγων. καὶ τοῦτό ἐστι παρ᾽ Ὁμήρῳ λεγόμενον ὑπὸ Τηλεμάχου· Ἀντίνο᾽, ἦ μευ καλὰ πατὴρ ὣς κήδεαι υἷος. τῷ γὰρ ἐχθρῷ λέγει, ὅτι ὡς πατὴρ υἱοῦ πεφρόντικας. καὶ πάλιν, ὅταν χλευάζων τις ἐπαίρῃ τὸν πέλας, ὡς οἱ μνηστῆρες· Ἦ μάλα Τηλέμαχος φόνον ἡμῖν μερμηρίζει· Ἤ τινας ἄξει ἀμύντορας ἐκ Πύλου ἠμαθόεντος, Ἢ νυ καὶ ἐκ Σπάρτηθεν, ἐπεί νύ περ ἵεται αἰνῶς.

Ἔστι δέ τι εἶδος εἰρωνείας καὶ ὁ σαρκασμὸς, ἐπειδάν τις διὰ τῶν ἐναντίων ὀνειδίζων τινὶ, μεταποιεῖται μειδιάματος, ὡς Ἀχιλλεύς· Τοῖσι μὲν ἔμπεδα κεῖται, ἐμεῦ δ᾽ ἀπὸ μούνου Ἀχαιῶν Εἵλετ᾽, ἔχει δ᾽ ἄλοχον θυμαρέα, τῇ παριαύων Τερπέσθω.

Τούτοις παραπλησίως ἔχει καὶ ἡ ἀλληγορία, ἥπερ ἕτερον δι᾽ ἑτέρου παρίστησιν· οἷόν ἐστι τοῦτο· Νῦν μὲν δὴ μάλα πάγχυ Μελάνθιε νύκτα φυλάξεις, Εὐνῇ ἐνὶ μαλακῇ καταλέγμενος, ὡς ἐπέοικε.

vendum misericordiam: *O miserum, perdet quem Jupiter ille senecta Primum nunc ineunte, mala hæc ut grandia spectet, Ut nati pereant, raptetur clara puella, Conjunx ut vitietur, et ut sua pignora chara Prosternantur humi, sævo certamine Martis.*

Est et *Ironia* apud eum, sermo per contrarium cum quadam morali simulatione contrarium declarans, ut est hoc Achillis: *Sed Laërtiades tecum consultet, et omni Concilio regum, quo pellat navibus ignem.* —— *Et Danaos inter legat is regem potiorem.* Declarat enim quod haud facile alium regaliorem invenerit. Atque hic quidem modus est, quando aliquis se extenuat, ut contrariam sui existimationem præbeat. Alius autem quando quis se quempiam maxime laudare simulat, quum revera vituperet. Atque hoc est, quod apud Homerum a Telemacho dicitur. *Antinoë ut natus patre, sic ego diligor abs te.* Inimico namque dixit, Tanquam pater filium, sic me curas. Et rursus, quando quis irridendi gratia alterum extollit, ut proci: *Telemachus cædem haud dubie nobis meditatur, Auxilium ex Sparta cogens, Pyliisque desertis. Multum namque sibi tribuit, sumitque adolescens.*

Est et *Sarcasmus* quædam Ironiæ species, quando quis per contrarium alicui convitians, risum concitat, quemadmodum Achilles: *Salva manent aliis sua dona, sed unus Achilles Munere privatur, licet ipsi grata sit uxor Atridæ, cum qua cumbens se oblectet amanter.*

His *Allegoria* haud dissimilis est, quæ aliud per aliud exhibet, ut est istud: *Atræ*

τὸν γὰρ ἐν δεσμοῖς ὄντα, καὶ ἀνηρτημένον, ἐν κοίτῃ ἁπαλῇ ὑπνώσσειν λέγει.

Κέχρηται πολλάκις καὶ τῇ ὑπερβολῇ, ἥτις ὑπεραίρουσα τὴν ἀλήθειαν, πολλὴν ἐπίτασιν ἐμφαίνει· οἷον, Λευκότεροι χιόνος, θείειν δ' ἀνέμοισιν ὁμοῖοι. τοιούτοις μὲν δὴ τρόποις καὶ σχήμασι χρησάμενος Ὅμηρος, καὶ τοῖς μετ' αὐτὸν ὑποδείξας, τῆς ἐπὶ τούτοις εὐδοξίας πρὸς πάντων δικαίως τυγχάνει.

Ἐπεὶ δὲ καὶ χαρακτῆρές εἰσι τῶν λόγων, τὰ καλούμενα πλάσματα, ὧν τὸ μὲν ἁδρὸν, τὸ δ' ἰσχνὸν, τὸ δὲ μέσον λέγεται, ἴδωμεν, εἰ πάντα ἐστὶ παρ' Ὁμήρῳ, τῶν μετ' αὐτὸν ποιητῶν ἢ λογογράφων ἐπιτηδευσάντων ἕν τι τούτων ἑκάστου, ὧν καὶ ἔστι παραδείγματα, Θουκυδίδου μὲν τὸ ἁδρὸν, Λυσίου δὲ τὸ ἰσχνὸν, Δημοσθένους δὲ τὸ μέσον.

Τὸ μὲν οὖν ἁδρὸν πλάσμα ἐκεῖνό ἐστι, τὸ καὶ τῇ τῶν λέξεων, καὶ τῇ τῶν νοημάτων κατασκευῇ μεγάλας ἔχον ἐμφάσεις, οἷόν ἐστιν. Ὣς εἰπὼν, σύναγεν νεφέλας, ἐτάραξε δὲ πόντον, Χερσὶ τρίαιναν ἑλὼν, πάσας δ' ὀρόθυνεν ἀέλλας Παντοίων ἀνέμων, σὺν δὲ νεφέεσσι κάλυψε Γαῖαν ὁμοῦ καὶ πόντον, ὀρώρει δ' οὐρανόθεν νύξ. Ἰσχνὸν δὲ τὸ καὶ τῇ ὕλῃ τῶν πραγμάτων μικρὸν, καὶ τῇ λέξει κατισχνωμένον· οἷόν ἐστι τοῦτο· Ὣς εἰπὼν, οὗ παιδὸς ὀρέξατο φαίδιμος Ἕκτωρ· Ἂψ δ' ὁ παῖς πρὸς κόλπον ἐϋζώνοιο τιθήνης Ἐκλίνθη ἰάχων, πατρὸς φίλου ὄψιν ἀτυχθεὶς, Ταρβήσας χαλκόν τ' ἠδ' αὖ λόφον ἱππιοχαίτην. Μέσον δὲ τὸ ἑκατέρου τούτων μεταξὺ, τοῦ μὲν ἰσχνότερον, τοῦ δὲ ἁδρότερον, οἷον· Αὐτὰρ ὁ γυμνώθη ῥακέων πολύμητις Ὀδυσσεὺς, Ἆλτο δ' ἐπὶ μέγαν οὐδὸν, ἔχων βιὸν ἠδὲ φαρέ-

noctis eris custos, vigilaque Melanthi, In tenero strato cubitans ceu maximus heros. Vinctum namque et suspensum, in cubili delicato soporandum dicit.

Usus est sæpenumero et *Hyperbola*, quæ veritatem superans, multum vehementiæ ostendit, ut: *Hi candore nivem superant, cursuque Aquilonem.* Hujusmodi tropis et figuris Homerus ita usus est, et ad posteros transmisit, ut ob hæc ingentem gloriam ab omnibus merito reportet.

Quandoquidem vero dicendi formæ sunt, quæ genera vocantur, quorum aliud quidem grande, aliud gracile, aliud medium appellatur, videamus num omnia ea apud Homerum sint, in quorum singulis singuli poëtæ et oratores post illum laboraverunt. Quorum et exempla sunt, Thucydidis quidem granditas, Lysiæ gracilitas, et Demosthenis mediocritas.

Igitur grande genus illud est, quod et verborum et sententiarum apparatu, magnam emphasim habet, ut est: *Sic fatus, nebulas cogit, pulsatque tridente Tum mare, commovit Zephyris exinde procellas, Tellus ut simul et pontus tegerentur opacis Nubibus, ingrueretque polo nox undique cæca.* Gracile autem, tum rerum materia pusillum, tum et dictione extenuatum est, cujusmodi est hoc: *Sic fatus, puerum amplexurus strenuus Hector: Ast is retro abiit, gremiumque petivit amatæ Nutricis clamans, faciem fugiebat et hujus, Dum stupet ob galeam æratam, cristamque minacem.* Medium autem inter utrumque istorum, gracile videlicet et grande versatur, ut: *Vestibus exuitur laceris consultus Ulysses, Insilit inque solum, retinens jacula atque*

τρην, 'Ιῶν ἐμπλείην, ταχέας δ' ἐκχεύατ' ὀϊςὲς Πρόςθε ποδῶν, μετὰ δὲ μνηςῆρσιν ἔειπεν.

"Οτι δὲ καὶ τὸ ἀνθηρὸν εἶδος τῶν λόγων ἐςὶ πολὺ παρὰ τῷ ποιητῇ, κάλλος ἔχον, καὶ χάριν ἐς τὸ τέρπειν καὶ ἥδειν ὥςπερ ἄνθος, τί ἄν τις καὶ λέγοι; μεςὴ γάρ ἐςιν ἡ ποίησις τῆς τοιαύτης κατασκευῆς. ἡ μὲν δὴ τῆς φράσεως ἰδέα, τοιαύτην ἔχει ποικιλίαν παρὰ τῷ 'Ομήρῳ, οἵαν διήλθομεν, ὀλίγα παραδείγματα θέμενοι, ἐξ ὧν ἐςι καὶ τὰ ἄλλα κατανοεῖν.

'Επεὶ δὲ παντὸς τῦ ἀσκυμένυ παρ' ἀνθρώποις λόγυ, ὁ μέν τις ἐςὶν ἱςορικὸς, ὁ δὲ πολιτικὸς, φέρε θεασώμεθα, εἰ καὶ τύτων εἰσὶν αἱ ἀρχαὶ παρ' αὐτῷ. 'Ο μὲν δὴ ἱςορικός ἐςι, ὁ τῶν γεγονότων πραγμάτων ἔχων διήγησιν. πάσης δὲ διηγήσεως ἀφορμαὶ γίνονται. πρόςωπον, αἰτία, τόπος, χρόνος, ὄργανον, πρᾶξις, πάθος, τρόπος, καὶ ὐδὲν τύτων ἔξω ἐν ἱςορίᾳ περιέχει ὐδέμια διήγησις. ὕτως ἐςὶ παρὰ τῷ ποιητῇ πολλὰ πράγματα, ὡς γεγονότα, ἢ ὡς ὄντα διηγυμένῳ, ἐνίοτε καὶ ἐν ἑκάςῳ τύτων διηγήσεις εὑρεῖν ἐςι. προςώπυ μὲν, ὡς τὸ τοιόνδε· Ἦν δέ τις ἐν Τρώεσσι Δάρης ἀφνειὸς, ἀμύμων, 'Ιρεὺς 'Ηφαίςοιο, δύο δέ οἱ υἱέε ἦσαν, Φηγεὺς 'Ιδαῖός τε, μάχης εὖ εἰδότε πάσης. καὶ ἐν οἷς εἴδη τινῶν διαγράφει, ὡς ἐπὶ τῦ Θερσίτυ· Φολκὸς ἔην, χωλὸς δ' ἕτερον πόδα, τὼ δέ οἱ ὤμω Κυρτὼ, ἐπὶ ςῆθος συνοχωκότε, αὐτὰρ ὕπερθε Φοξὸς ἔην κεφαλὴν, ψεδνὴ δ' ἐπενήνοθε λάχνη· καὶ ἄλλα πολλὰ, ἐν οἷς ἢ εἶδος, ἢ τρόπον, ἢ πρᾶξιν, ἢ τύχην προςώπυ διέξεισι πολλάκις, ὡς ἐν τύτοις· Δάρδανον ἂρ πρῶτον τέκετο νεφεληγερέτα Ζεὺς, καὶ τὰ ἑξῆς. Τόπυ δέ ἐςι παρ' αὐτῷ διήγησις, ὁποίαν περὶ τῆς νήσυ τῆς γειτνιώσης τῇ τῶν Κυκλώπων λέγει. ἐν οἷς τὸ εἶδος τῦ τόπυ διαγράφει,

pharetram Confertam jaculis, jacula et velocia fudit Ante pedes, faturque procis dein talia cunctis.

Quod autem et floridum dicendi genus, quod venustatem et gratiam ad delectandum, ac voluptate afficiendum, instar floris habet, frequens apud poëtam sit, non est quod quis dicat, siquidem poësis tali apparatu plena est. Atque dicendi quidem formæ talem apud Homerum variationem habent, qualem ostendimus, paucis adductis exemplis, ex quibus et reliqua deprehendere licet.

Quoniam vero omnis oratio, in qua homines se exercent, aut historica, aut civilis est, age videamus num et harum initia apud istum sint. Historica quidem oratio est, quæ rerum gestarum narrationem continet. Omnis autem narrationis occasiones sunt, persona, causa, locus, tempus, instrumentum, actio, affectio, modus, neque ulla historica narratio est, quin aliquid istorum complectatur. Ad hunc modum et apud poëtam res se habet, dum multas res tanquam gestas, aut tanquam gerantur, narrat. Nonnunquam vero et in singulis horum narrationes invenire licet. Personæ quidem, ut est hujusmodi: *Dardanidas inter fuit ille Dares, locuples vir, Integer, atque dei Vulcani mysta, cui duo Filioli, Phegeus, Ideus, uterque peritus Omnigenæ pugnæ.* Et dum formas quorundam describit, ut in Thersita: *Strabus erat, claudusque pedem, et gibbosus, acuto Vertice, cæsaries defloruit undique turpis.* Et alia multa, in quibus aut speciem, aut mores, aut actionem, aut fortunam sæpe prosequitur, sic ut in his: *Dardanon altitonans genuit Saturnia proles, etc.*

καὶ τὸ πηλίκον, καὶ τὸ ὁποῖον αὐτῆς, καὶ τὰ ἐν αὐτῇ, καὶ τὰ παρ' αὐτῇ, καὶ περὶ τῶν παρακειμένων τῷ ἄντρῳ τῆς Καλυψοῦς. Ὕλη δὲ σπέος ἀμφιπεφύκει τηλεθόωσα, Κλήθρη τ', αἴγειρός τε, καὶ εὐώδης κυπάρισσος, καὶ τὰ ἑξῆς. καὶ μυρία ἄλλα τοιαῦτα. Χρόνου δ', οἷον· Ἐννέα δὴ βεβάασι Διὸς μεγάλου ἐνιαυτοί. καί, Χθιζά τε, καὶ πρώϊζ', ὅτ' ἐς Αὐλίδα νῆες Ἀχαιῶν Ἠγερέθοντο, κακὰ Πριάμῳ, καὶ Τρωσὶ φέρουσαι. αἰτίας δ' ἐν οἷς ἐμφαίνει, δι' ὃ γίνεταί τι, ἢ γέγονεν, οἷά ἐστι τὰ ἐν ἀρχῇ τῆς Ἰλιάδος εἰρημένα· Τίς τ' ἄρ σφῶε θεῶν ἔριδι ξυνέηκε μάχεσθαι; Λητοῦς καὶ Διὸς υἱός· ὃ γὰρ βασιλῆϊ χολωθεὶς, Νοῦσον ἀνὰ στρατὸν ὦρσε κακὴν, ὀλέκοντο δὲ λαοί· Οὕνεκα τὸν Χρύσην ἠτίμησ' ἀρητῆρα Ἀτρείδης· καὶ τὰ ἑξῆς. ἐν γὰρ τούτοις λέγει τὰς αἰτίας, τῆς μὲν Ἀχιλλέως καὶ Ἀγαμέμνονος διαφορᾶς τὸν λοιμόν. τοῦ δὲ λοιμοῦ τὸν Ἀπόλλωνος χόλον. τοῦ δὲ χόλου, τὴν ὕβριν τὴν εἰς τὸν ἱερέα τοῦ δαίμονος. Ὀργάνου δὲ διήγησιν, ὁποίαν διέξεισι τῆς ἀσπίδος, ἣν Ἥφαιστος Ἀχιλλεῖ κατεσκεύασε. καὶ ἄλλη σύντομος περὶ τοῦ Ἕκτορος δόρατος, Ἐν δ' Ἕκτωρ εἰσῆλθε Διῒ φίλος, ἐν δ' ἄρα χειρὶ Ἔγχος ἔχ' ἑνδεκάπηχυ, πάροιθε δὲ λάμπετο δουρὸς Αἰχμὴ χαλκείη, περὶ δὲ χρύσεος θέε πόρκης. Πράξεως δὲ διηγήσεις εἶεν ἄλλαι τε, καὶ αἱ τοιαίδε· Οἱ δ' ὅτε δή ῥ' ἐς χῶρον ἕνα ξυνιόντες ἵκοντο, Σύν ῥ' ἔβαλον ῥινοὺς, σὺν δ' ἔγχεα, καὶ μένε' ἀνδρῶν Χαλκεοθωρήκων, ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι Ἔπληντ' ἀλλήλῃσι, πολὺς δ' ὀρυμαγδὸς ὀρώρει. Πάθους δὲ διήγησίς ἐστιν, ἐν ᾗ τὸ συμβαῖνον ἐξ αἰτίου, ἢ ἐξ ἐνεργείας τινὸς σαφηνίζεται, ὁποῖά φησι περὶ τῶν ὑπὸ ὀργῆς, ἢ φόβου, ἢ λύπης κατεχομένων, ἢ τιτρωσκομένων, καὶ ἀποκτεινομένων, ἢ ἄλλο

Loci autem apud eum narratio est, qualem de insula Cyclopum regioni vicina commemorat: in quibus loci speciem, diversitatem, insulæ qualitatem, quæ in illa, et quæ juxta illam sunt, et dum ea, quæ Calypsus antro adjacent, describit: *Speluncam circumdederat nemus undique pulchrum. Quippe alnus fragilis, clethra, et fragrans cyparissus etc.* Et cætera hujusmodi innumera. Temporis autem veluti: *Jamque novem magni Jovis anni præterierunt.* Et: *Hactenus appellunt, quum naves Aulida Græcæ, Perniciem Priamo magnam, populoque ferentes.* Causæ vero, in quibus ostendit, quapropter aliquid fiat, aut factum sit, ut illa, quæ in Iliados exordio dicta sunt: *Quis deus immisit litem, ut contendat uterque? Haud dubie Phœbus, regi indignatus Atridæ, Is siquidem mittendo luem validam inter Achivos, Innumeros leto dedit ob Chrysam violatum:* Et reliqua. In his enim inimicitiarum inter Achillem et Agamemnonem causam fuisse dicit pestem, pestis vero Apollinis iram, iræ autem contumeliam, qua Dei sacerdos affectus erat. Instrumenti, qualem narrationem in clypeo, quem Vulcanus Achilli fabrefecit, prosequitur. Est et alia concisa de Hectoris hasta: *Hector ubi ingressus, bis quinque tenens cubitorum Unius atque hastam bene longam, ferrea cuspis Cui splendebat item, circumdat et annulus auro.* Facti autem narrationes cum aliæ, tum ejusmodi sunt: *Conveniunt, parmas simul objiciunt, simul hastas, Armatorum hominum quoque robora maxima, scutis Cominus umbonis propellunt mutua utrinque Vulnera, magnus ut hinc factus sit utrinque tumultus.* Affectionis autem narratio est, in qua id, quod contingit, ex causa, aut ex efficacia quadam declaratur, cujusmodi de iis narrat, qui ira, aut timore, aut tristitia affici-

τι τοιῦτο πασχόντων. ἐξ αἰτίου μὲν Ἀχνύμενος, μένεος δὲ μέγα φρένες ἀμφὶ μέλαιναι Πίμπλαντ᾽, ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐΐκτην. ἐξ ἐνεργείας δὲ, Αἵματί οἱ δεύοντο κόμαι χαρίτεσσιν ὁμοῖαι, Πλοχμοί θ᾽ οἳ χρυσῷ τε, καὶ ἀργύρῳ ἐσφήκωντο.

῾Ο δὲ τρόπος ἐστὶ ποιητικὸς πράξεως, ἢ παθήματος, ἢ σχέσεώς τινος, καθ᾽ ἣν τὸ μὲν, ὧδέ τι ἐνεργεῖ, τὸ δὲ, ὧδέ πως ἔχει, καὶ πάσῃ ἀκολουθεῖ τῇ τοιαύτῃ διηγήσει. παράδειγμα δὲ αὐτοῦ τὸ τοιόνδ᾽ ἂν εἴη· Τὸν δ᾽ Ὀδυσεὺς κατὰ λαιμὸν ἐπισχόμενος βάλεν ἰῷ· Ἐκλίνθη δ᾽ ἑτέρωσε, δέπας δέ οἱ ἔκπεσε χειρὸς Βλημένου, αὐτίκα δ᾽ αὐλὸς ἀνὰ ῥῖνα παχὺς ἦλθεν Αἵματος ἀνδρομέοιο. καὶ τὰ ἑξῆς.

Ἔστι δὲ διήγησις παρ᾽ αὐτῷ, ὡς μὲν ἐπὶ τὸ πλεῖστον πλατεῖαν φράσιν, καὶ ἐξεργασίαν ἁρμόζουσαν τοῖς ὑποκειμένοις ἔχουσα, ἐνίοτε δὲ εὔτονος, ὡς ἡ τοιαύτη. Κεῖται Πάτροκλος, νέκυος δὲ δὴ ἀμφιμάχονται Γυμνοῦ, ἀτὰρ τά γε τεύχε᾽ ἔχει κορυθαίολος Ἕκτωρ. τοῦτο δὲ τὸ εἶδος πολλάκις ἐστὶ χρήσιμον. τὸ γὰρ τάχος τῶν λόγων εὐτονώτερον καθίστησι, καὶ τὸν λέγοντα, καὶ τὸν ἀκροώμενον, καὶ ῥᾳδίως τυγχάνει τοῦ προκειμένου. διηγεῖται δὲ ποτὲ μὲν ψιλῶς, ποτὲ δὲ μετὰ εἰκόνος, ἢ ὁμοιώσεως, ἢ παραβολῆς. εἰκόνος μὲν, ὡς ὅταν εἴπῃ· Ἡ δ᾽ ἴεν ἐκ θαλάμοιο περίφρων Πηνελόπεια, Ἀρτέμιδι ἰκέλη, ἠὲ χρυσῇ Ἀφροδίτῃ. ὁμοιώσεως δὲ, οἷον· Αὐτὸς δὲ, κτίλος ὡς, ἐπεπωλεῖτο στίχας ἀνδρῶν. παραβολῆς δὲ, ὅταν παραπλησίων πραγμάτων παράθεσιν ποιήσηται, ἔχουσαν ἀνταπόδοσιν τὴν ἀπὸ τοῦ προκειμένου διηγήματος. καὶ ἔστι παρ᾽ αὐτῷ ποικίλα τὰ εἴδη τῶν παραβολῶν. συνεχῶς γὰρ καὶ πολυτρόπως παρατίθησι

untur, aut vulnerantur, occiduntur, aut aliud quippiam tale perpetiuntur. Ex causa: *Indoluit, ferventque homini præcordia nigra, Atque oculos igni similes gestare corusco.* Ex efficacia: *Ut Charitum multo conspersi sanguine crines: Aurea vitta comas, nec non argentea vincit.*

Modus autem poëticus est, dum actio, passio, aut habitus aliquis ita describitur, ut secundum eum aliud quidem sic fiat, aliud vero sic quodammodo se habeat. Quibus narrationibus omnibus Homerus utitur, cujus exemplum tale fuerit: *Vulnerat hunc jaculo feriens divinus Ulysses, In guttur, procumbat ut is, pateramque relinquat, Quam manibus tenuit, cruor hinc de naribus exit, etc.*

Est autem narratio apud eum, quæ plerumque copiosam phrasim habet, ac diligentiam subjectæ materiæ continentem. Nonnunquam vero succincta, ut ejusmodi: *Patroclus jacet, hinc pugna est pro corpore nudo, Illius arma quidem sibi sumpsit strenuus Hector.* Hæc autem forma sæpe utilis est; orationis namque celeritas et dicentem, et audientem attentiorem, et facile voti compotem reddit. Narrat autem nonnunquam nude, nonnunquam vero cum imagine, vel similitudine, vel simili imagine, ut quando inquit: *Penelope ex thalamo veniens, forma referebat Aureolam Venerem, venatricemque Dianam.* Similitudine vero, ut: *Non secus atque aries armatorum agmen obibat.* Simili vero, quum vicinarum rerum comparationem ita facit, ut ad institutum adaptari queat. Suntque apud eum variæ similium species. sub-

ταῖς τῶν ἀνθρώπων πράξεσι καὶ σχέσεσι ζώων ἄλλων ἐνεργείας, καὶ φύσεις.

Καί ἐστι μὲν ὅταν ἀπὸ τῶν ἐλαχίστων ποιῆται τὴν ὁμοίωσιν, οὐ πρὸς τὸ μέγεθος τοῦ σώματος, ἀλλὰ πρὸς τὴν φύσιν ἑκάστου ἀφορῶν, ὅθεν τὴν μὲν ἰταμότητα ἀπείκασε μυίᾳ· Καί οἱ μυίης θάρσος ἐνὶ στήθεσσιν ἔθηκε. καὶ τὴν συνέχειαν τῷ αὐτῷ ζώῳ, Ἠΰτε μυιάων ἁδινάων ἔθνεα πολλά. τὸν δὲ ἀθροισμὸν, καὶ τὴν πολυπλήθειαν μετ' εὐταξίας μελίσσαις· Ἠΰτ' ἔθνεα εἶσι μελισσάων ἁδινάων. οὕτω δὲ καὶ τὴν ὀργὴν, καὶ τὴν δίωξιν ἔδειξεν εἰπών· Σφήκεσσιν ἐοικότες εἰνοδίοισι. καὶ ἔτι προσθεὶς, Οὓς παῖδες ἐριδαίνουσιν ἔθοντες, ἵνα μᾶλλον τὸ ἐκ φύσεως αὐτῶν θυμοειδὲς τῷ ἀπὸ τῶν παίδων ἐρετισμῷ ἐπιτείνῃ· ἐπὶ δὲ συνεχοῦς φωνῆς φησίν· Ἐσθλοὶ, a τεττίγεσσιν ἐοικότες. λαλίστατον γὰρ τὸ ζῶον, καὶ ἄπαυστον ἐν τούτῳ. Τῶν δὲ ἀσυντάκτως φερομένων φωνὰς παμμιγεῖς οὕτως εἴκασεν· Ἠΰτε περ κλαγγὴ γεράνων πέλει οὐρανόθι πρό. τὰ δὲ εἰς τάξιν καθιστάμενα πλήθη τοῖς καθημένοις ὀρνέοις ὁμοιοῖ, Κλαγγηδὸν προκαθιζόντων. Τὴν δὲ ὀξύτητα τῆς ὄψεως, καὶ τῆς πράξεως, ποτὲ μὲν ἱέρακι παραβάλλει, Ὠκέϊ, φασσοφόνῳ, ὅς τ' ὤκιστος πετεηνῶν. ποτὲ δὲ ἀετῷ, Ὅν τε καὶ ὑψόθ' ἐόντα πόδας ταχὺς οὐκ ἔλαθε πτώξ. παρίστησι γὰρ τὴν ὀξυδέρκειαν ἐν τῷ πόῤῥωθεν ἰδεῖν, τὸ δὲ τάχος ἐν τῷ ποδωκέστατον ζῶον ἑλεῖν. τὸν δὲ ἐκπλαγέντα πρὸς ὄψιν πολεμίου, δράκοντος ὁράματι προσείκασεν, οὐκ ὀκνήσας οὐδ' ἀπὸ τῶν ἑρπετῶν παραδείγματα λαβεῖν. Ὡς δ' ὅτε τίς τε δράκοντα ἰδὼν παλίνορσος ἀπέστη. Ἀπὸ δὲ τῶν ἄλλων ζώων, δειλίας

inde namque, ac multis modis aliorum animantium efficaciam, et naturam hominum gestis et habitibus confert.

Est etiam quando a minimis similitudinem trahit, non ad corporis magnitudinem, sed ad uniuscujusque naturam respiciens, quo fit ut improbitatem muscæ comparet: *Inspiravit huic Pallas muscæ improbitatem.* Et assiduitatem eidem animanti comparavit: *haud secus ac muscarum examina multa frequentant.* Globum autem et ingentem multitudinem ordine incedentem, apibus: *sicut apum fuerint examina crebra volantum.* Ad hunc modum et iram, et persecutionem ostendit, dicens: *Vespis in via agentibus similes.* Atque his subjungit: *Quas pueri irritare solent:* ut eo magis genuinum earum furorem per puerorum irritationem concitatum, exaggeraret. De continua autem voce ait: *Boni, locustis similes.* Loquacissimum namque animal, et in hac parte inquietum. Eos autem, qui voces inconcinne permixtas efferunt, sic comparavit: *haud secus atque gruum clangor ferit æthera summum.* Ordinatam vero multitudinem avibus considentibus assimilat: *Cum clangore considentium.* Visus autem et facti acrimoniam nonnunquam accipitri confert: *Persimilisque palumbin[illegible]o, qui perceler instat.* Nonnunquam vero aquilæ, *quam etiam in alto volitantem lepus pedibus celer non fefellerit.* Visus namque acumen in eo ostendit, quod eam procul ait videre, celeritatem vero, quod pernicissimum animal capit. Hostis autem aspectu obstupefactum ei comparat, qui draconeum videt, ita ut non puduerit eum vel a reptilibus exempla sumere: *haud secus atque dracone aliquis viso rediit mox.* Ab aliis vero animantibus, timiditatis quidem a lepore, et a cervo itidem sumit, *Cur adeo*

a Addendum ἀγορηταὶ vel intell.

μὲν ἀπὸ τȣ̃ λαγωȣ̃ λαμβάνει, καὶ ἀπὸ τῆς ἐλάφȣ ὁμοίως· Τίφθ’ ȣ̔́τως ἕςητε τεθηπότες ἠΰτε νεβροί. κυνῶν δὲ, ὁτὲ μὲν ἀλκήν· ‘Ως δ’ ὅτε καρχαρόδοντε δύω κύνε, οἵ τ’ ἐπὶ [a] θήρης· ὁτὲ δὲ φιλοτεκνίαν· ‘Ως δὲ κύων ἀπαλῇσι περὶ σκυλάκεσσι βεβῶσα. ὁτὲ δὲ προθυμίαν πρὸς τὸ φυλάσσειν· ‘Ως δὲ κύνες περὶ μῆλα δυςωρήσονται ἐν αὐλῇ. ‘Αρπαγὴν δὲ ἅμα μυθικῶς [b] καὶ ἰταμῶς πρασσομένην, λύκοις εἴκασεν· ‘Ως δὲ λύκοι ἄρνεσσιν ἐπέχραον, ἢ ἐρίφοισι. Τὸ δὲ ἄλκιμον, καὶ ἄτρεπτον διά τε συῶν ἀγρίων, καὶ παρδάλεων, καὶ λεόντων ἔδειξε, μερίζων ἑκάςῳ τὸ πρὸς τὴν φύσιν οἰκεῖον. Τῶν μὲν συῶν τὴν ὁρμὴν ἣν ἔχει [c] πρὸς μάχην ἀνυπόςατον ποιῶν· ’Ιδομενεὺς δ’ ἄρ’ ἐνὶ προμάχοις συῒ εἴκελος ἀλκήν· τῶν δὲ παρδάλεων τὸ ἄπαυςον τῆς τόλμης· ’Αλλά τε καὶ περὶ δȣρὶ πεπαρμένη ȣ̓κ ἀπολήγει· λεόντων δὲ τὸ μέλλον μὲν, εἰς τέλος δὲ γενναῖον· Οὐρῇ δὲ πλευράς τε καὶ ἰσχία ἀμφοτέρωθεν Μαςίεται. Πάλιν δὲ παραβάλλει δρόμον ἀνδρὸς γενναίȣ ἵππῳ τροφῆς κεκορεσμένῳ. ‘Ως δ’ ὅτε τις στατὸς ἵππος ἀκοςήσας ἐπὶ φάτνῃ. καὶ τȣ̓ναντίον βραδεῖαν πορεῖαν ἀήττητον ἐν τῷ καρτερεῖν, ȣ̔́τως ἔδειξεν· ‘Ως ὅτ’ ὄνος παρ’ ἄρȣραν ἰὼν ἐβιήσατο παῖδας. σχῆμα δὲ βασίλειον καὶ ὑπερέχον ἐτύπωσε διὰ τȣ́των. ’Ηΰτε βȣ̃ς ἀγέληφι μέγ’ ἔξοχος ἔπλετο πάντων. ȣ̓ κατέλιπε δὲ ȣ̓δὲ τῶν θαλασσίων ζώων ὁμοιότητας. πολύποδος μὲν τὸ παράμονον, καὶ δυςαπόσπαςον τῶν πετρῶν· ‘Ως δ’ ὅτε πȣλύποδος θαλάμης ἐξελκομένοιο. δελφῖνος δὲ τὸ ἡγεμονικὸν, καὶ κρατιςεῦον τῶν ἄλλων, ‘Ως δ’ ὑπὸ δελφῖνος μεγακήτεος ἰχθύες ἄλλοι.

stupefacti estis, velut hinnulus, omnes? A canibus autem, quando fortitudinem commendat: *Acres ut catuli mordent aprum, lacerantque.* Quando autem amorem erga liberos: *Ut canis egregie catulos propugnat, amatque.* Quando vero animi promptitudinem ad custodiendum: *Ut canis est promptus, fidusque ad ovilia custos.* Raptum autem qui et fabulose, et audacter fit, lupis comparare solet: *Agnos ut lupus invadit, raptatque tenellos.* Fortitudinem vero et constantiam per sues sylvestres, pardos, et leones ostendit, dum unicuique quod naturæ suæ proprium est tribuit. A suibus impetum quem (hoc genus animantis) ad pugnam invictum habet, mutuatur: *Idomeneus apro similis propugnat ubique.* A pardis pertinacem audaciam: *Nec penetrante cutem pilo, pugnare remittit.* A leonibus vero primum cunctationem, deinde et generositatem: *Cauda utrumque latus, lumbos, ac ilia verrit.* Rursum autem hominis generosi cursum equo saturo comparat: *Sicut equus saturus juxta præsepe moratus.* Et contra tardum incessum, ac in tolerando insuperabilem, sic ostendit: *Ceu pueros per agros vadens propulsat asellus.* Regium vero habitum, ac præstantiam hisce expressit: *Eminet armento veluti bos præstat in omni.* Neque vero marinorum animantium similitudines omisit, polypi quidem perseverantiam, et quam difficulter a saxis avellatur: *Extrahitur veluti polypus si quando cavernis.* Delphini autem principatum, ac præstantiam inter alios pisces: *Ut pisces alios superat delphinus in undis.*

a Οἵτ’ ἐπὶ θήρης. Il. κ΄. 360. Sed ibi est εἰδότε θήρης.

b Cl. *Valkenarius* ad *Ammon.* p. 56. corrigit ὁρμητικῶς. *Barnesius* lenius θυμικῶς.

c Aut ἔχȣσι legendum videtur, aut intell. τις.

Πολλάκις δὲ τὰ ὑπὸ ἀνθρώπων πρασσόμενα ἄλλαις ὁμοίως πράξεσι παραβάλλει, ὥσπερ ἐν τούτῳ· Οἵ δ' ὥστ' ἀμητῆρες ἐναντίοι ἀλλήλοισι, τὴν ἔνστασιν καὶ καρτερίαν δεικνύων τῶν ἀνδρῶν. τῷ δ' ἀγεννῶς δακρύοντι ὀνειδίζει μετὰ ἐναργοῦς ὁμοιώσεως· Τίπτε δεδάκρυσαι Πατρόκλεις, ἠΰτε κούρη νηπίη.

Ἐτόλμησε δὲ καὶ τοῖς στοιχείοις παραβαλεῖν πράξεις ἀνθρωπίνας. ὡς ἐν τούτῳ· Ὣς ἔφατ', Ἀργεῖοι δὲ μέγ' ἴαχον, ὡς ὅτε κῦμα Ἀκτῇ ἐφ' ὑψηλῇ, ὅτε κινήσει νότος ἐλθὼν προβλῆτι σκοπέλῳ, τὸν δ' οὔποτε κύματα λείπει Παντοίων ἀνέμων, ὅταν ἔνθ', ἢ ἔνθα γένωνται. ἐν οἷς δῆλός ἐστι καὶ ὑπερβολῇ, καὶ αὐξήσει κεχρημένος. οὐ γὰρ ἤρκεσε κύματος ἤχῳ τὴν κραυγὴν ἀπεικάσαι, ἀλλὰ τῶν προφερομένων ἀκτῇ ἐφ' ὑψηλῇ, ὅπου μετεωριζόμενον τὸ κῦμα μείζονα ἦχον ἀποτελεῖ, καὶ οὐχ ἁπλῶς κῦμα, ἀλλὰ τὸ κινηθὲν ἀπὸ νότου, τοῦ μάλιστα τὰ ὑγρὰ κινοῦντος, καὶ ἐπὶ σκοπέλῳ προβλῆτι, τῷ ἀνατεταμένῳ εἰς τὸ πέλαγος, καὶ περικλυζομένῳ ὑπ' αὐτοῦ, ὃς καὶ ἀδιάλειπτον ἔχει τὸν κλύδωνα, ὁπόθεν ἂν προσπίπτωσιν οἱ πνέοντες ἄνεμοι. τοιαῦτα μέν ἐστι τὰ τῆς ἐν τῷ διηγεῖσθαι ἐξεργασίας παρ' αὐτῷ. ἅπερ ἔνεστι καὶ ἐπὶ τῶν πολλῶν κατανοεῖν ἐκ τῶν ὀλίγων παραδειγμάτων.

Σκεψώμεθα δὲ καὶ τὰ λοιπὰ εἴδη τῶν λόγων, εἴ ἐστι παρὰ τῷ Ὁμήρῳ, πρώτῳ καὶ τὰς ἐννοίας αὐτῶν λαβόντι, καὶ ἐναργῶς κατασκευάσαντι, ὁμοίως ὀλίγα παραδείγματα παρατεθέντα, καὶ τὰ ἄλλα νοεῖν παρασκευάσει.

Ὁ δὲ θεωρητικὸς λόγος ἐστὶν, ὁ περιέχων τὰ καλούμενα θεωρήματα, ἅπερ ἐστὶ γνῶσις τῆς ἀληθείας, γινομένη μετὰ τέχνης. ἀφ'

Sæpenumero autem ea quæ ab hominibus fiunt, aliis similiter factis confert, ut in hoc: *Messores veluti certant frumenta metendo.* Resistendi vim, et tolerantiam virorum demonstrans, molliter autem ploranti, similitudine perspicua exprobrat: *Cur teneræ in morem lacrimas Patrocle puellæ.*

Ausus est autem et elementis humana facta conferre, ut in illo: *Argolici vocem tollebant, fluctus ut altis Littoribus resonat, scopuloque immurmurat, Auster quem petit omnigenis zephyris agitata procella Nunquam intermittens, variis dum partibus afflant.* In quibus constat, eum et hyperbola, et amplificatione usum esse. Non enim contentus fuit, procellæ sono clamorem comparasse, sed fluctuum, qui in altum littus illiduntur, ubi dum fluctus exaltatur, majorem sonitum dedit. Neque simplicem procellam, sed ab Austro, qui humida maxime movet, concitatam, in scopulum eminentem, ac in pelagus prominentem, illisam esse dicit, et qui ab ea allueretur, quique assiduæ tempestati obnoxius esset, undecumque tandem ventorum flatus irrueret. Istiusmodi apud eum sunt, quæ ad diligentiam in narrando pertinent, quorum multa ex paucis exemplis deprehendere licet.

Perpendamus autem et reliquas orationis species, num apud Homerum ita sint, ut ipse eas primum et excogitasse, et illustrasse videatur. Qua de re paucis itidem exemplis adductis, et reliqua conjici possunt.

Cæterum contemplativa oratio est, quæ, quas vocant, speculationes complectitur, habentes veritatis cognitionem, quæ arte constet. Unde et rerum divinarum et hu-

ὧν ἐστὶ τὴν φύσιν τῶν ὄντων, θείων τε καὶ ἀνθρωπίνων πραγμάτων, κατανοεῖν. καὶ τὰς περὶ τὸ ἦθος ἀρετὰς καὶ κακίας διαιρεῖν· καὶ εἴ τινι τέχνῃ λογικῇ μετέρχεσθαι τὴν ἀλήθειαν προσήκει, μανθάνειν. ταῦτα δὲ μετεχειρίσαντο οἱ ἐν φιλοσοφίᾳ διατρίψαντες, ἧς ἐστὶ μέρη τὸ φυσικὸν, καὶ ἠθικὸν, καὶ διαλεκτικόν. ἐν δὴ πᾶσι τούτοις τὰς ἀρχὰς, καὶ τὰ σπέρματα ἐνδιδόντα Ὅμηρον εἰ καταμάθοιμεν, πῶς οὐκ ἂν εἴη πρὸ πάντων θαυμάζεσθαι ἄξιος; εἰ δὲ δι' αἰνιγμάτων, καὶ μυθικῶν λόγων τινῶν ἐμφαίνεται τὰ νοήματα, οὐ χρὴ παράδοξον ἡγεῖσθαι. τοῦτο γὰρ αἴτιον ποιητικῆς, καὶ τῶν ἀρχαίων ἦθος, ὅπως οἱ μὲν φιλομαθοῦντες μετά τινος εὐμουσίας ψυχαγωγούμενοι ῥᾷον ζητῶσί τε, καὶ εὑρίσκωσι τὴν ἀλήθειαν, οἱ δὲ ἀμαθεῖς, μὴ καταφρονῶσι τούτων, ὧν οὐ δύνανται συνιέναι. καὶ γάρ ἐστί πως, τὸ μὲν δι' ὑπονοίας σημαινόμενον ἀγαστὸν, τὸ δὲ φανερῶς λεγόμενον εὐτελές.

Ἀρξώμεθα τοίνυν ἀπὸ τῆς τοῦ παντὸς ἀρχῆς, καὶ γενέσεως, ἣν Θαλῆς ὁ Μιλήσιος εἰς τὴν τοῦ ὕδατος οὐσίαν ἀναφέρει· καὶ θεασώμεθα, εἰ πρῶτος Ὅμηρος τοῦθ' ὑπέλαβεν εἰπὼν, Ὠκεανός θ', ὅσπερ γένεσις πάντεσσι τέτυκται. μετ' ἐκεῖνον δὲ Ξενοφάνης ὁ Κολοφώνιος ὑφιστάμενος τὰς πρώτας ἀρχὰς εἶναι τὸ ὕδωρ, καὶ τὴν γῆν, ἔοικε σπάσαι τὴν ἀφορμὴν ταύτην ἐκ τῶν ὁμηρικῶν τούτων· Ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε. σημαίνει γὰρ τὴν ἀνάλυσιν εἰς τὰ γεννητικὰ στοιχεῖα τοῦ παντός. ἡ δὲ μάλιστα ἀληθὴς δόξα, τέσσαρα στοιχεῖα συνίστησι, πῦρ, ἀέρα, ὕδωρ, γῆν. ταῦτα δὲ καὶ Ὅμηρος εἰδὼς φαίνεται, μνημονεύων ἐν πολλοῖς αὐτῶν ἑκάστου. καὶ τὴν τάξιν δὲ αὐτῶν ὅπως ἔχει κατέμαθεν.

manarum naturam cognoscere licet. virtutes et vitia, quæ in moribus sunt, secernere: denique num conari oporteat, aliqua rationali arte veritatem discere. Hæc autem ii, qui in philosophia versati sunt, tractaverunt: cujus partes sunt, naturalis, moralis, et dissertiva. Quod si horum omnium principia, et semina Homerum suppeditasse cognoverimus, quo pacto non præ omnibus admiratione dignus fuerit? Quod autem per ænigmata, et fabulosas quasdam orationes animi sensa ostendit, non mirum videri debet. Poëtica namque in causa est, et priscorum consuetudo, ut et disciplinarum studiosi, ingenii ac animi quadam delectatione deliniti, veritatem facilius et inquirant, et inveniant: et ut idiotæ illa non contemnant, quæ intelligere nequeunt. Etenim est quodammodo id, quod figurate significatur, jucundum: quod vero aperte dicitur, vilescit.

Exordiamur itaque a totius universi principio, ac generatione, quam Thales Milesius ad aquæ substantiam refert, et videamus num Homerus primus hoc invenerit, dicens: *Oceanus, qui cuncta creat, gignitque creata.* Post illum vero Xenophanes Colophonius, aquam et terram inter prima initia constituens, eam occasionem ab Homericis illis sumpsisse videtur: *Sed vos et tellus omnes fiatis et unda.* Significat enim resolutionem in genitalia elementa universitatis. Opinio autem maxime verax, quatuor elementa constituit: ignem, aërem, aquam, et terram. Hæc autem et Homerum scivisse apparet, dum in multis uniuscujusque istorum mentionem facit. Qua autem serie ea constituta essent, novit.

Ὅτι μὲν γὰρ ἡ γῆ κατωτάτω πάντων ἐστὶ, θεασώμεθα. σφαιροειδοῦς γὰρ ὄντος τοῦ κόσμου, ὁ μὲν περιέχων τὰ πάντα οὐρανὸς, τὸν ἄνω τόπον ἐπέχειν εἰκότως λέγοιτ᾽ ἄν· ἡ δὲ γῆ ἐν μέσῳ οὖσα πανταχόθεν, κατωτέρω τοῦ περιέχοντός ἐστι. τοῦτο δὴ ὁ ποιητὴς ἐν τούτοις μάλιστα δηλοῖ, ἐν οἷς φησιν ὁ Ζεὺς, ἀπὸ τοῦ Ὀλύμπου σειρὰν ἀναψάμενος, τὴν γῆν καὶ τὴν θάλασσαν ἀνασπάσειν, ὡς πάντα μετέωρα γενέσθαι, Ἀλλ᾽ ὅτε κεν καὶ ἐγὼ πρόφρων ἐθέλοιμι ἐρύσσαι, Αὐτῇ κεν γαίῃ ἐρύσαιμ᾽ αὐτῇ τε θαλάσσῃ· Σειρὴν μὲν κεν ἔπειτα περὶ ῥίον Οὐλύμποιο Δησαίμην, τὰ δέ κ᾽ αὖθι μετέωρα πάντα γένοιτο.

Ὑπὲρ δὲ γῆς ὄντος τοῦ ἀέρος, τὸν αἰθέρα ὑψηλότερον εἶναί φησιν οὕτως· Εἰς ἐλάτην ἀναβὰς περιμήκετον, ἣ τότ᾽ ἐν Ἴδῃ Ἀκροτάτῃ πεφυκυῖα, δι᾽ ἠέρος αἰθέρ᾽ ἵκανε. τοῦ δὲ αἰθέρος ἀνωτέρω τὸν οὐρανόν· Ὣς οἱ μὲν μάρναντο, σιδήρειος δ᾽ ὀρυγμαδὸς Χάλκεον οὐρανὸν ἷκε δι᾽ αἰθέρος ἀτρυγέτοιο. καὶ ἔτι ἐν τούτῳ· Ἠερίη δ᾽ ἀνέβη μέγαν οὐρανὸν, οὔλυμπόν τε. τὸ γὰρ καθαρώτερον τοῦ ἀέρος, ἀνωτάτω ὂν, καὶ τὸ μάλιστ᾽ ἀπέχον τῆς γῆς, καὶ τῶν ἐξ αὐτῆς ἀναθυμιάσεων, ὡς ὅλον λαμπρόν φασιν ὄλυμπον προσηγορεῦσθαι. ἐν οἷς δέ φησιν ὁ ποιητὴς συνοικεῖν τῷ Διῒ τὴν Ἥραν οὖσαν ἀδελφὴν, δοκεῖ ταῦτα ἀλληγορεῖσθαι, ὅτι Ἥρα μὲν νοεῖται ὁ ἀὴρ, ἥπερ ἐστὶν ὑγρὰ οὐσία. διὸ καὶ λέγει· ἠέρα δ᾽ Ἥρη Πίτνα πρόσθε βαθεῖαν. Ζεὺς δὲ ὁ αἰθὴρ, τουτέστιν, ἡ πυρώδης καὶ ἔνθερμος οὐσία· Ζεὺς δ᾽ ἔλαχ᾽ οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃσιν. ἀδελφοὶ μὲν οὖν ἔδοξαν διὰ τὴν συνάφειαν, καὶ τὴν κατά τι ὁμοιότητα, ὅτι ἄμφω κοῦφοι καὶ κινούμενοι· σύνοικοι δὲ, καὶ ὁμόλεκτροι, ὅτι ἐξ αὐ-

Nam quod terra omnium infima sit, videamus. Orbicularis namque cum sit mundus, cœlum, quod omnia continet, superiorem locum retinere, haud immerito dici queat. Terra autem in medio collocata undiquaque inferior aëre est. hoc sane Poëta in his maxime declarat, in quibus Jupiter ait, se de Olympo catena suspensa, terram et mare revulsurum, ut omnia in sublime tollerentur: *Ast ego si cupiam, vos nunc detraxero cunctos, Firma cum tellure simul, pontoque præalto, Vertice de cœli suspensa rite catena, Atque hæc rursus ego in sublime reduxero cuncta.*

Præterea aëre super terram collocato, æthera excelsiorem esse ad hunc modum dicit: *Conscendit pinum, quæ stans in vertice montis Aëra per liquidum sursum penetrabat in æthram.* Æthere autem cœlum superius: *Sic illi pugnant, ut ferreus inde tumultus In cœlum resonet, sterilemque per æthera tranet.* Et præterea in illo: *Aëria ascendit cœlum, atque petivit olympum.* Quum enim suprema aëris pars purior sit, et maxime a terra, ejusque exhalationibus distet, ideo Olympum, quasi ὅλον λαμπρὸν totum splendidum appellari dicunt. In quibus vero poëta ait: Junonem cum Jove consuetudinem habere, quum tamen illius soror esset, per allegoriam hæc significare videtur, quod per Junonem aër intelligatur, quippe humida substantia. Propterea etiam dicit: *Aëra fundebat Juno Lucina profundum.* Per Jovem autem æther, hoc est, ignea substantia, et calida essentia innuitur: *Atque Jovi cœlum in nebulis, ac æthere cessit.* Fratres igitur propter conjunctionem, et quandam similitudinem visi sunt, eo quod uterque levis ac mobilis sit. Familiares vero, et conjuges, quod ex

τῶν συνιόντων γεννᾶται τὰ πάντα. διὸ καὶ ἐν τῇ Ἴδῃ συνέρχονται, καὶ ἡ γῆ αὐτοῖς φύει τὰς πόας, καὶ τὰ ἄνθη.

Τοῦ δὲ αὐτοῦ λόγου ἔχεται κἀκεῖνα, ἐν οἷς φησιν ὁ Ζεὺς κρεμᾶσθαι τὴν Ἥραν, καὶ ἐξάπτεσθαι τῶν ποδῶν αὐτῆς ἄκμονας δύο, τουτέστι, τὴν γῆν, καὶ τὴν θάλασσαν. μάλιστα δὲ ἐν ἐκείνοις ἐξεργάζεται τὸν περὶ στοιχείων λόγον, δι' ὧν ὁ Ποσειδῶν λέγει αὐτῷ· Τρεῖς γάρ τε Κρόνου ἦμεν ἀδελφεοὶ, οὓς τέκε Ῥεία, Ζεὺς, καὶ ἐγὼ, τρίτατος δ' Ἀΐδης ἐνέροισιν ἀνάσσων. καὶ, Τριχθὰ δὲ πάντα δέδασται, ἕκαστος δ' ἔμμορε τιμῆς. καὶ ὅτι ἐν τῇ τοῦ παντὸς νομῇ Ζεὺς μὲν ἔλαχε τὴν τοῦ πυρὸς οὐσίαν, Ποσειδῶν δὲ τὴν τοῦ ὕδατος, Ἅδης δὲ τὴν τοῦ ἀέρος. τοῦτον γὰρ λέγει ζόφον ἠερόεντα, ἐπειδὴ φῶς οἰκεῖον οὐκ ἔχει, ἀλλ' ὑπὸ ἡλίου, καὶ σελήνης, καὶ τῶν ἄλλων ἄστρων καταλάμπεται.

Τετάρτη δὲ κατελείφθη καὶ κοινὴ πάντων ἡ γῆ. ἡ μὲν γὰρ τῶν τριῶν στοιχείων οὐσία κινεῖται ἀεὶ, μόνη δὲ ἀκίνητος ἡ γῆ μένει, ᾗ καὶ τὸν Ὄλυμπον προσέθηκεν. εἰ μὲν γὰρ ὄρος ἐστὶν, ὡς μέρος τῆς γῆς, εἰ δὲ τοῦ οὐρανοῦ τὸ λαμπρότατον, καὶ καθαρώτατον, ὡς καὶ ταύτης οὔσης, ἐν τοῖς στοιχείοις πέμπτης οὐσίας, ὅπερ ᾠήθησάν τινες τῶν ἐνδόξων φιλοσόφων. ὥστε κατὰ τὸ εἰκὸς κοινὰ ὑπέθετο εἶναι, τήν τε γῆν κατωτάτω διὰ βαρύτητα, καὶ τὸν Ὄλυμπον ἀνωτάτω ὄντα διὰ κουφότητα, ὅτι εἰς ταῦτα αἱ μεταξὺ φύσεις, πῇ μὲν καταφέρονται, πῇ δὲ ἀναφέρονται. τῆς δὲ στοιχείων φύσεως ἐξ ἐναντίων συνεστώσης, ξηρότητός τε, καὶ ὑγρότητος, καὶ θερμότητος, καὶ ψυχρότητος, ὑπὸ δὲ τῆς πρὸς ἄλληλα ἀναλογίας καὶ κράσεως ἐναπεργαζομένης τὸ πᾶν, καὶ μεταβολὰς μὲν μερικὰς ὑπομενούσης,

istis coëuntibus omnia generentur. Quapropter et in Ida congrediuntur, ac terra eis herbas ac flores gignit.

Ejusdem vero rationis sunt et illa, in quibus Jupiter ait: Junonem pendere, et duas incudes, hoc est, mare et terram illius pedibus appendi. In iis autem elementorum rationem maxime habet, in quibus Neptunus Jovi dicis: *Tres siquidem fratres sumus, ex Rhea genitrice, Jupiter, atque ego, tertius infera regna tenet qui. Omnia tripliciter divisa, tenetque sua omnis.* Præsertim quum in universi distributione, Jupiter ignis, Neptunus aquæ, Pluto aëris essentiam sortitus sit. Hunc enim aëriam caliginem ideo vocat, quod lucem propriam non habet, sed a sole, luna, et reliquis astris lumen mutuatur.

Terra autem quarta et communis pars, eam ob causam relicta est, quod trium elementorum essentia assidue movetur, terra autem sola immobilis est, cui et Olympum addidit. Si enim mons est, ut partem terræ: sin cœli splendidissimam et purissimam partem intelligas, tum hæc quinta essentia inter elementa fuerit, id quod quidam illustres philosophi senserunt. Quocirca haud abs re communia esse censuit, terram videlicit infimam propter gravitatem, et olympum supremum, propter levitatem. Quoniam in ista naturæ interjectæ. partim deorsum, partim sursum feruntur. Porro quum elementorum natura ex contrariis sit constituta, videlicet siccitate et humiditate, calore ac frigore: et quum per competentiam et temperaturam, quam invicem habent, cuncta fabricentur, et ea permanente mutationes particulares fiant, et e contra illa desi-

τȣ̃ δὲ παντὸς λύσιν μὴ ἐπιδεχομένης, Ἐμπεδοκλῆς ἔφη τὰ ὅλα συνεςάναι ȣ̔́τως· Ἄλλοτε μὲν φιλότητι συνερχόμεν᾽ εἰς ἓν ἅπαντα, Ἄλλοτε δ᾽ αὖτις ἕκαςα φορεύμενα νείκεος ἄχθει. Τὴν μὲν συμφωνίαν καὶ ἕνωσιν τῶν ςοιχείων, φιλίαν προςαγορεύσας· νεῖκος δὲ τὴν ἐναντίωσιν. Πρὸ δὲ τȣ́τȣ Ὅμηρος τὴν φιλίαν, καὶ τὸ νεῖκος αἰνίσσεται, ἐν οἷς φησιν Ἥρα παρ᾽ αὐτῷ· Εἶμι γὰρ ὀψομένη πολυφόρβȣ πείρατα γαίης, Ὠκεανόν τε θεῶν γένεσιν, καὶ μητέρα Τηθύν· Τȣ̀ς εἶμ᾽ ὀψομένη, καὶ σφ᾽ ἄκριτα νείκεα λύσω.

Τοιȣ̃τον δέ γε καὶ τὴν Ἀφροδίτην, καὶ τὸν Ἄρην ὁ μῦθος αἰνίττεται, τῆς μὲν ταυτὸ δυναμένης, ὃ παρὰ τῷ Ἐμπεδοκλεῖ ἡ φιλία, τȣ̃ δὲ, ὃ παρ᾽ ἐκείνῳ τὸ νεῖκος. ὅθεν ποτὲ μὲν σύνεισιν ἀλλήλοις, ποτὲ δὲ διαλύονται. ἐλέγχει δὲ αὐτȣ̀ς Ἥλιος, καὶ δεσμοῖ μὲν αὐτȣ̀ς Ἥφαιςος, λύει δὲ Ποσειδῶν. ἐν οἷς δῆλόν ἐςι, ὅτι ἡ ἔνθερμος, καὶ ἡ ξηρὰ ȣ̓σία, καὶ ἡ ταύτῃ ἐναντία, ἡ ψυχρά τε, καὶ ὑγρὰ, ποτὲ μὲν συνάγȣσι τὰ πάντα, ποτὲ δὲ λύȣσιν.

Ἀκολȣθεῖ δὲ τȣ́τοις καὶ τὸ παρὰ τοῖς ἄλλοις ποιηταῖς εἰρημένον, ὅτι ἐκ τῆς Ἄρεος καὶ Ἀφροδίτης συνȣσίας ἁρμονία συνέςηκεν, ἐξ ἐναντίων, βαρέων τε, καὶ ὀξέων, κιρναμένων ἀλλήλοις ἀναλόγως. ὅπως δὲ ἀντίκεινται ἀλλήλοις τὰ τῆς ἐναντίας φύσεως τετυχηκότα, αἰνίττεσθαι ἔοικεν ὁ ποιητὴς καὶ ἐν τῇ παρατάξει τῶν θεῶν, ἐν ᾗ πεποίηκε τȣ̀ς μὲν τοῖς Ἕλλησι, τȣ̀ς δὲ τοῖς Τρωσὶ βοηθȣ̃ντας, ἀλληγορικῶς ἐμφαίνων τὰς δυνάμεις ἑκάςȣ· καὶ τὸν μὲν Φοῖβον τῷ Ποσειδῶνι ἀντιτάσσει, τὸ θερμὸν καὶ ξηρὸν, τῷ ὑγρῷ καὶ ψυχρῷ, τὴν δ᾽ Ἀθηνᾶν τῷ Ἄρει, τὸ λογιςικὸν τῷ ἀλογίςῳ· τȣτέςι τὸ ἀγαθὸν τῷ κακῷ. τὴν δὲ Ἥραν τῇ Ἀρτέμιδι· τὸν ἀέρα τῇ σελήνῃ, καὶ ὅτι ὁ μὲν ςαθερὸς, ἡ δὲ πολυκίνητος. τὸν δὲ Ἑρμῆν τῇ Λητοῖ,

nente omnia solvantur, Empedocles cuncta ad hunc modum constare inquit: *Est ubi conveniunt in amore bene, est ubi rursus Singula discordant, litem, pugnamque capessunt:* Ubi elementorum concordiam et unitatem, amicitiam: discordiam autem, contentionem appellat. Ante hunc autem Homerus concordiam et discordiam in iis obscure ostendit, in quibus Juno apud eum ait: *Vado videre feracis cuncta latibula terræ, Oceanumque patrem divorum, Tethidaque ipsam, Magnas inter eos valeam an componere lites.*

Talia etiam Veneris et Martis fabula sub verborum involucris ostendit. Quorum illa quidem idem pollet, quod apud Empedoclem amicitia, hic autem idem, quod apud illum inimicitiæ. Unde fit, ut aliquando inter sese coëant, aliquando autem dissolvantur. Indicat autem eos Sol, Vulcanus vincit, solvit Neptunus. Unde constat, quod calida et sicca essentia, et his contraria, frigida et humida, nonnunquam omnia coagmentant, nonnunquam vero dissolvunt.

Quibus et hoc consentaneum, quod apud alios poëtas dictum est, quod ex Martis et Veneris consuetudine, concentus ex contrariis, gravibus videlicet et acutis constet, dum inter sese æquabiliter temperantur. Quo pacto autem ea, quæ contrariam naturam sortita sunt, sibi invicem opponantur, poëta per ænigma significasse videtur, præsertim in acie deorum: in qua fingit, alios quidem Græcis, alios autem Trojanis auxilium ferre, allegorice uniuscujusque vim ostendens. Atque Phœbum quidem Neptuno in acie opponit, calidum et siccum, humido et frigido. Minervam autem

ὅτι ὁ μὲν λόγος αἰεὶ ζητεῖ καὶ μέμνηται, ἡ δὲ λήθη τούτῳ ἐστὶν ἐναντίον. τὸν δὲ Ἥφαιστον τῷ ποταμῷ, κατὰ τὸν αὐτὸν λόγον, καθ' ὃν τὸν ἥλιον τῇ θαλάσσῃ. θεατὴν δὲ τῆς μάχης τὸν πρῶτον θεὸν, καὶ ἐπὶ τούτῳ γεγηθότα.

Ἐκ δὲ τῶν προειρημένων ἅμα, καὶ τοῦτο ὑποδεικνὺς Ὅμηρος φαίνεται, καὶ ὅτι εἷς ἐστιν ὁ κόσμος, καὶ πεπερασμένος. εἰ γὰρ ἄπειρος ἦν, οὐκ ἂν εἰς ἀριθμὸν πέρας ἔχοντα διῃρεῖτο. καὶ ἐν τῷ ὀνόματι σημαίνει [a] τὸ σιωπᾶν, ὡς καὶ ἐν ἄλλοις πολλοῖς χρῆται ἀντὶ τοῦ ἑνικοῦ τῷ πληθυντικῷ. σαφέστερον δὲ τὸ αὐτὸ δηλοῖ ἐν τῷ εἰπεῖν, πείρατα γαίης. καὶ πάλιν ἐν οἷς φησίν· Οὐδ' εἴ κε τὰ νείατα πείραθ' ἵκηται Γαίης, καὶ πόντοιο. καὶ ἐν τῷ, Ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο. ὅπου γάρ ἐστιν ἀκρότης, ἐκεῖ καὶ πέρας.

Ὅπως δὲ καὶ περὶ ἡλίου γινώσκει, οὐκ ἄδηλον, ὅτι κυκλοφορικὴν ἔχων δύναμιν, ποτὲ μὲν ὑπὲρ γαίης φαίνεται, αὖθις δὲ ὑπὸ γῆν ἄπεισι· καὶ τοῦτο δῆλον ποιεῖ, λέγων· Ὦ φίλοι, οὐ γάρ τ' ἴδμεν ὅπῃ ζόφος, οὐδ' ὅπῃ ἠώς, Οὐδ' ὅπῃ ἠέλιος φαεσίμβροτος εἶσ' ὑπὸ γαῖαν, Οὐδ' ὅπῃ ἀνεῖται. καὶ ὅτι αἰεὶ ὑπὲρ ἡμᾶς ἰὼν, καὶ διὰ τοῦτο Ὑπερίων προσαγορευόμενος ὑπ' αὐτοῦ τοῦ ποιητοῦ, τήν τε ἀνατολὴν ἐκ τοῦ περιέχοντος τὴν γῆν ὕδατος, τουτέστι τοῦ ὠκεανοῦ, ποιεῖται, καὶ εἰς αὐτὸν καταδύεται, δηλοῖ σαφῶς· τὴν μὲν ἀνατολὴν

Marti, rationale irrationali, hoc est bonum malo. Junonem vero Dianæ, hoc est, aërem Lunæ, eo quod ille stabilis, hæc vero instabilis sit. Mercurium autem Latonæ, eo quod sermo assidue quærit, ac meminit, oblivio autem his contraria est. Vulcanum denique fluvio, eadem ratione, qua solem mari. Pugnæ autem spectatorem deum primarium, et super hoc lætantem fingit.

Ex prædictis autem simul et hoc ostendere Homerus videtur, quod et unus, et finitus sit mundus. Si enim infinitus esset, nequaquam divideretur in numerum habentem terminum. Ipso enim nomine terminum significat, quippe cum in aliis multis plurativo pro singulari utatur. Clarius autem eandem rem declarat, dum inquit: *Fines terræ.* et rursus in quibus ait: *Ultima non equidem quamvis adeat loca terræ, Et maris.* Præterea in hoc: *Summo vertice multijugi versatus Olympi.* Ubi enim summum, illic et terminus est.

Quid autem de sole sentiat, non est obscurum; quia quum orbicularem circumferentiæ vim obtineat, aliquando super terram apparet, nonnunquam rursus subter terram abit, idque ad hunc modum declarat: *O socii, nescimus, ubi caligo sit orta, Auroræque domus, radiique Hyperionis unde. Quove meent rursus subeuntes infima terræ.* Quodque semper supra nos gradiens sol, ideoque Hyperion, hoc est supergrediens, ab ipso poëta appellatus, ex aqua, quæ terram complectitur, hoc est, ex Oceano, oriatur, et in eum occidat, poëta perspicue ostendit; ortum quidem in his: *Oceani stagna alta sinens, exortus erat sol, Æthera conscendens, superis lux esset ut*

a Τὸ σιωπᾶν] Hoc verbum vitiosum esse non dubito. Interpres latinus sensum expressit, quem loco huic convenire putabat. Sed quomodo nomine mundi terminum indicat? *Barnesius* audacter reposuit καλλωπίζειν, quasi id conveniret significationi verbi κόσμου. Vestigia verbi sequenti in mentem veniat τὸ σιωπώμενον, ipso nomine indicavit, quod diserte non dixit.

κἂν τούτοις, Ἠέλιος δ' ἀνόρουσε, λιπὼν περικαλλέα λίμνην, Οὐρανὸν εἰς πολύχαλκον, ἵν' ἀθανάτοισι φαείνῃ. τὴν δὲ δύσιν, Ἐν δ' ἔπεσ' Ὠκεανῷ λαμπρὸν φάος ἠελίοιο, Ἕλκων νύκτα μέλαιναν ἐπὶ ζείδωρον ἄρουραν. Δείκνυσι δὲ αὐτοῦ καὶ τὸ εἶδος· λαμπρὸς δ' ἦν ἠέλιος ὥς. καὶ μέγεθος, Εὖτε γὰρ ἠέλιος φαέθων ὑπερέσχεθε γαῖαν. καὶ ἔτι μᾶλλον ἐν τούτῳ· Ἦμος δ' ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει. καὶ τὴν δύναμιν· Ἠέλιος, ὃς πάντ' ἐφορᾷ, καὶ πάντ' ἐπακούει. Καὶ τὸ ἔμψυχον, καὶ τὸ ἐπὶ τῇ κινήσει αὐτοπροαίρετον, ἐν οἷς ἀπειλεῖ, Δύσομαι εἰς ἀΐδαο, καὶ ἐν νεκύεσσι φαείνω. καὶ ἐπὶ τούτῳ ὁ Ζεὺς αὐτὸν παρακαλεῖ, Ἠέλι', ἤτοι μὲν σὺ μετ' ἀθανάτοισι φάεινε, Καὶ θνητοῖσι βροτοῖσιν ἐπὶ ζείδωρον ἄρουραν. ἐξ ὧν δηλοῖ ὅτι οὐ πῦρ ἐστιν ὁ ἥλιος, ἀλλ' ἑτέρα τις κρείσσων οὐσία. ὅπερ καὶ Ἀριστοτέλης ὑπέλαβεν, εἴ γε τὸ μὲν πῦρ ἐστιν ἀνωφερὲς, καὶ ἄψυχον, καὶ εὐδιάληπτον, καὶ φθαρτόν· ὁ δὲ ἥλιος, κυκλοφορητικὸς, καὶ ἔμψυχος, καὶ ἀΐδιος, καὶ ἄφθαρτος.

Καὶ τῶν ἄλλων δὲ τῶν κατὰ τὸν οὐρανὸν ἄστρων, ὅτι οὐκ ἀπείρως Ὅμηρος εἶχεν, φανερόν ἐστιν, ἐξ ὧν πεποίηκε, Πληϊάδας θ', ὑάδας τε, τό τε σθένος Ὠρίωνος· καὶ τὴν Ἄρκτον τὴν αἰεὶ στρεφομένην περὶ τὸν ἀειφανῆ πόλον τὸν βόρειον, καὶ διὰ τὸ μετέωρον μὴ ἁπτομένην τοῦ ὁρίζοντος, ὅτι ἐν ἴσῳ χρόνῳ ὅ τε μικρότατος κύκλος, ἐν ᾧ ἐστιν Ἄρκτος, καὶ ὁ μέγιστος, ἐν ᾧ Ὠρίων στρέφεται, ἐν τῇ τοῦ κόσμου περιφορᾷ· καὶ τὸν βραδέως δυόμενον Βοώτην, ὅτι πολυχρόνιον ποιεῖται τὴν κατάδυσιν, οὕτω πεπτωκὼς θέσει, ὥς τε ὀρθὸν καταφέρεσθαι, καὶ συγκαταδύεσθαι τέσσαρσι ζωδίοις, τῶν πάντων εἰς ὅλην νύκτα μεριζομένων ἓξ ζωδίων. εἰ δὲ μὴ πάντα τὰ περὶ τῶν

alma. Occasum vero, *Irruit Oceano lampas Phœbea, facitque Ingenteis homini tenebras, noctemque profundam.* Ostendit autem et ejus formam: *Splendidus autem erat ut sol.* Et magnitudinem: *Nam bene lucescens Phœbus terræ eminet omni.* Et adhuc magis in hoc: *Sol quando illustris medium penetrarat Olympum.* Et vim: *Sol qui cuncta videt, nec non audire potest qui.* Et quod sit animatus, et sua sponte moveatur, in quibus minatur: *Lux ero funestis, subiens Plutonis in ædeis.* Propterea quoque Jupiter eum adhortatur: *Phœbe tuum fuerit posthac mortalibus, atque Diis superis lucem cunctis perferre benignam.* Unde constat, quod sol non sit ignis, sed alia quæpiam potior substantia, id quod et Aristoteles sensit. Siquidem ignis in altum fertur, inanimatus, facile cessans, et corruptibilis est. Sol vero in orbem fertur, animatus, æternus, et incorruptibilis.

Quod vero nec aliorum astrorum imperitus fuerit Homerus, ex iis, quæ finxit, palam est: *Vergilias, suculas, nec non magnum Oriona.* Ad hæc ursam describit, quo pacto subinde juxta polum Aquilonarem nobis semper apparentem versetur, et propter sublimitatem horizontem non attingat, eo quod æquali tempore, et minimus circulus, in quo ursa est, et maximus, in quo Orion, in mundi circumferentia vertitur. Præterea et Bootem tarde occidentem, quia diuturnum faciens occasum, ejusmodi situm habet, ut rectus deferatur, et una cum quatuor signis occidat, quæ sunt ex cunctis illis sex, quæ toti nocti attribuuntur. Quod vero non omnia, quæ ad si-

ἄστρων θεωρούμενα διεξῆλθεν, ὡς Ἄρατος, ἢ ἄλλος τις, οὐ χρὴ θαυμάζειν. οὐ γὰρ τοῦτο προέκειτο αὐτῷ.

Οὐκ ἀγνοεῖ δὲ τὰς αἰτίας τῶν περὶ τὰ στοιχεῖα συμπτωμάτων, οἷον σεισμῶν, καὶ ἐκλείψεων. Ἐπεὶ γὰρ ἡ γῆ σύμπασα μετέχει ἐν ἑαυτῇ ἀέρος τε, καὶ πυρὸς, καὶ ὕδατος, ὑφ' ὧν καὶ περιέχεται, κατὰ τὸ εἰκὸς ἐν βάθει αὐτῆς συνίστανται ἀτμοὶ πνευματώδεις, τούτους φασὶν ἔξω μὲν φερομένους κινεῖν τὸν ἀέρα, εἰρχθέντας δὲ ἀνοιδαίνειν εἰς τὸ ἔξω βιαζομένους. τοῦ δ' ἀνειλεῖσθαι τὸ πνεῦμα ἐντὸς τῆς γῆς, τὴν θάλασσαν αἰτίαν εἶναι νομίζουσιν, ἐμφράσσουσαν ἐνίοτε τὰς εἰς τὸ ἔξω διόδους. ἔστι δὲ ὅτε ὑποχωροῦσαν αὐτὴν κατερείπειν τῆς γῆς τινὰ μέρη. καὶ τοῦτο οὖν Ὅμηρος εἰδὼς, τὴν αἰτίαν τῶν σεισμῶν τῷ Ποσειδῶνι ἀνατίθησι, γαιήοχόν τε αὐτὸν, καὶ ἐνοσίχθονα προσαγορεύων.

Ἐπεὶ δὲ τῶν πνευμάτων ἐντὸς τῆς γῆς καθειργνυμένων, νηνεμίαι συμβαίνουσι, καὶ ζόφοι, καὶ ἀμαυρώσεις τοῦ ἡλίου, σκεψώμεθα, εἰ καὶ τοῦτο συνεῖδε. πεποίηκε μὲν γὰρ τὸν Ποσειδῶνα σείοντα τὴν γῆν. μετὰ τὴν Ἀχιλλέως ἔξοδον ἐπὶ τὴν μάχην. προειρήκει δὲ ἐπὶ τῆς προτεραίας, ὁποία ἦν ἡ τοῦ ἀέρος κατάστασις. ἐπὶ μὲν τοῦ Σαρπηδόνος, Ζεὺς δ' ἐπὶ νύκτ' ὀλοὴν τανύσας κρατερῇ ὑσμίνῃ. καὶ πάλιν ἐπὶ τοῦ Πατρόκλου, Οὐδέ ποτ' ἠέλιον σόον ἔμμεναι, οὔτε σελήνην· Ἠέρι γὰρ κατέχοντο. καὶ μετ' ὀλίγον ὁ Αἴας εὔχεται· Ζεῦ πάτερ ἀλλὰ σὺ ῥῦσαι ὑπ' ἠέρος υἷας Ἀχαιῶν, Ποίησον δ' αἴθρην, δὸς δ' ὀφθαλμοῖσιν ἰδέσθαι. μετὰ δὲ τὸν σεισμὸν τοῦ πνεύματος ἔξω καταστάντος, σφοδροὶ γίνονται ἄνεμοι, ὅθεν Ἥρα φησίν· Αὐτὰρ ἐγὼ ζεφύροιο καὶ ἀργέσταο νότοιο Εἴσομαι ἐξ ἁλόθεν χαλεπὴν ὀρσου-

derum contemplationem pertinent, ut Aratus, seu alius quispiam, prosecutus est, nemini videatur mirum neque enim hoc ipsi institutum fuit.

Nec accidentium causas, quæ circa elementa versantur, ignoravit, veluti terræmotuum, ac deliquiorum. Quum enim tota terra in se ignis, aëris, et aquæ partem, a quibus et continetur, habeat, vero consentaneum est, quod vapores spiritu pleni in ejus profunditate consistant. Qui quando foras feruntur, aërem, ut aiunt, movent. Coërciti autem intumescunt, ac vi foras erumpunt. Quod vero spiritus intra terram concluditur, mare in causa esse putant, quod nonnunquam meatuum exitus obstruit. Quando autem illud recedit, quasdam terræ partes subvertit. Homerus itaque hoc non ignorans, terræmotuum causam Neptuno attribuit, dum eum terræ continentem, et terræmotorem appellat.

Quum vero flatibus intra terram conclusis, venti spirare cessent, atque hinc caligo et obscuritas solis oriatur, perpendamus num et hoc viderit. Siquidem fingit terram a Neptuno moveri, posteaquam Achilles in prælium exierat. Prædixerat autem in priori pugna, qualis esset aëris conditio. De Sarpedone, quidem, *Jupiter in pugnam tenebras immisit opacas.* Et rursus de Patroclo: *Integer esse potest nec Sol, nec clara Diana, Aëre namque tenentur.* Et paulo post Ajax rogat, *Jupiter hunc crassum tolle aëra, quæsumus omnes, Facque sereniferum, quo oculis spectare queamus.* Cæterum post terræmotum, spiritu jam foris constituto, validi oboriuntur venti, unde Juno ait: *Ipsa proficiscar zephyrique notique ruentis Ex vasto ponto rapidam motura procellam* Postera deinceps die Iris ventos ad Patrocli pyram advocat, *Hique fragore*

σα θύελλαν. εἶτα τῇ ὑστεραίᾳ τοὺς ἀνέμους ἡ Ἶρις ἐπὶ τὴν πυρὰν τοῦ Πατρόκλου παρακαλεῖ. οἱ δ' ὀρέοντο Πνοιῇ ὑπὸ λιγυρῇ νέφεα κλονέοντες ὄπισθεν. οὕτως δὲ καὶ τὴν ἔκλειψιν τοῦ ἡλίου φυσικῶς γινομένην, ὅταν ἡ σελήνη ἐν τῇ πρὸς αὐτὸν συνόδῳ κατὰ κάθετον ὑπελθοῦσα ἐπισκοτήσῃ, εἰδὼς φαίνεται. προειπὼν γὰρ, ὅτι ἐλεύσεται ὁ Ὀδυσσεὺς, Τοῦ μὲν φθίνοντος μηνὸς, τοῦ δ' ἱσταμένοιο, τοῦτ' ἔστιν ὅτε ἅμα παύεται καὶ ἄρχεται ὁ μὴν, συνιούσης τῷ ἡλίῳ τῆς σελήνης, ἅμα τῷ ἐλθεῖν αὐτὸν φησὶν ὁ μάντις πρὸς τοὺς μνηστῆρας, Ἆ δειλοὶ, τί κακὸν τόδε πάσχετε; νυκτὶ μὲν ὑμέων Εἰλύαται κεφαλαί τε, πρόσωπά τε, νέρθε τε γοῦνα, Εἰδώλων δὲ πλέον πρόθυρον, πλείη δὲ καὶ αὐλὴ Ἱεμένων, ἐρεβός δὲ ὑπὸ ζόφον, ἠέλιος δὲ Οὐρανοῦ ἐξ ἀπόλωλε, κακὴ δ' ἐπιδέδρομεν ἀχλύς.

Καὶ ἀνέμων δὲ φύσιν ἀκριβῶς κατενόησεν, ὧν τὴν μὲν γένεσιν ἐκ τῶν ὑγρῶν εἶναι· τοῦ μὲν γὰρ ὕδατος μεταβολὴ εἰς ἀέρα γίνεται· ὁ δ' ἄνεμος ἐστὶν ἀὴρ ῥέων. τοῦτο δὲ, ἔν τε ἄλλοις πολλοῖς ἐμφαίνει, καὶ ἐν οἷς φησὶν, ἀνέμων μένος ὑγρὸν ἀέντων. τὴν δὲ τάξιν αὐτῶν, ὡς ἔχει, διέθηκε· Σὺν δ' εὖρός τε νότος τ' ἔπεσε, ζέφυρός τε δυσαὴς, Καὶ βορέης αἰθρηγενέτης, μέγα κῦμα κυλίνδων. τούτων γὰρ ὁ μὲν ἀπὸ ἀνατολῆς ὁρμᾶται, ὁ δὲ ἀπὸ μεσημβρίας, ὁ δὲ ἀπὸ δύσεως, ὁ δὲ ἀπὸ ἄρκτου· καὶ ὁ μὲν ἀπηλιώτης ὑγρὸς ὢν, μεταβάλλει εἰς νότον, θερμὸν ὄντα, ὁ δὲ νότος λεπτυνόμενος, εἰς βορέαν ἀποκαθαίρεται. διὸ Ὦσεν ἐπὶ κραιπνὸν βορέην, τὰ δὲ κύματα ἆξεν. καὶ τὴν ἀντίθεσιν δὲ αὐτῶν φυσικῶς ἐξηγήσατο. Ἄλλοτε μέν τε νότος βορέῃ προέηκε φέρεσθαι. Ἄλλοτε δ' αὖ εὖρος ζεφύρῳ εἴξασκε διώκειν.

Ἠπίστατο δὲ κἀκεῖνος ὅτι βόρειος πόλος ὑπὲρ γῆν ἐστὶ μετέωρος, ὡς καθ' ἡμᾶς τοὺς ἐν τῷ κλίματι τούτῳ κατοικοῦντας, ὁ δὲ νότιος

ruunt, nubes cogendo retrorsum. Ad hunc modum et solis defectum, qui naturaliter fit, quando luna ei conjuncta perpendiculariter cum subierit, ac obscuraverit, novisse videtur. Præfatus namque, quod Ulysses venturus esset, mense deficiente et existente: hoc est, quando mensis simul et in exitu est, simul et incipit, quippe luna cum sole coëunte, tum vates ad procos ait, eum venturum esse, *Quid monstri video? caput, et facies aliena Omnibus est vobis, poples, totumque repletum Vestibulum est spectris, sunt atria plena tumultus: Cimmeriæ subtus tenebræ, solisque labores Cœlitus ostendunt sese caligine cæca.*

Ventorum præterea naturam accurate perpendit, horum videlicet ortum ex humidis esse. Aquæ namque commutatio in aërem transit. Porro ventus est aër fluens. Hoc vero quum in aliis multis ostendit, tum in quibus ait, *Ventorum vim humectam spirantium.* Seriem autem horum, ut habet, disposuit: *Una Eurusque, Notusque ruunt, zephyrusque procellas Excitat, et Boreas fluctus ad sidera tollit.* Horum namque alius ab ortu, alius a meridie, alius ab occasu, alius a septentrione spirat. Et subsolanus quidem humidus, in Austrum calidum mutatur, Auster autem rarescens in Favonium, Favonius adhuc magis rarefiens in Aquilonem facta expurgatione vertitur. Hinc est, quod ait, *Impulit in celerem Boream, movitque procellas.* Eorundem vero contentionem naturaliter explicuit, *Est quando Boreas Austrum superabat, et Eurus: Est quando cessit zephyro, primasque reliquit.*

Novit præterea ille quod Aquilonarius polus super terram arduus est his, qui in

ἐκ τοῦ ἐναντίου βαθύς. ὅθεν ἐπὶ μὲν τοῦ βορείου φησί· Καὶ βορέης αἰθρηγενέτης μέγα κῦμα κυλίνδων, τὴν ἄνωθεν ἐμπίπτουσαν φορὰν τοῦ ἀνέμου ἐμφαίνων, τῷ δὲ ὤθει, τὴν ἀπὸ τοῦ κοιλοτέρου πρὸς τὸ ἄναντες βίαν.

Ὅτι δὲ καὶ τῶν ὑετῶν γένεσίς ἐστιν ἐκ τῆς τῶν ὑγρῶν ἀναθυμιάσεως, ἐπεδήλωσεν εἰπών· Κατὰ δ' ὑψόθεν ἧκεν ἐέρσας Αἵματι μυδαλέας ἐξ αἰθέρος. καὶ, Αἱματοέσσας δὲ ψιάδας κατέχευεν ἔραζε. προειρήκει γάρ· Τῶν μέν γ' αἷμα κελαινὸν ἐΰῤῥοον ἀμφὶ Σκαμανδρὸν Ἐσκέδασ' ὀξὺς Ἄρης, ψυχαὶ δ' Ἄϊδόσδε κατῆλθον. ὅθεν δῆλόν ἐστιν, ὅτι τὰ ἀναφερόμενα ἀπὸ τῶν περὶ γῆν ὑδάτων ὑγρὰ, ἀναπεφυρμένα τῷ ὕδατι, τοιαῦτα ἄνωθεν κατηνέχθη. τοῦ δ' αὐτοῦ λόγου ἔχεται κἀκεῖνο· Ἦματ' ὀπωρινῷ, ὅτε λαβρότατον χέει ὕδωρ. τότε γὰρ ὁ ἥλιος ἐκ βάθους ἀνασπῶν διὰ ξηρότητα τῆς γῆς τὰ ὑγρὰ, θολερὰ καὶ γεώδη ἀναφέρει, τὰ δὲ ὑπὸ βάρους λάβρα καταῤῥήγνυται. αἱ μὲν οὖν ὑγραὶ ἀναθυμιάσεις, ὑετοὺς γεννῶσιν, αἱ δὲ ξηραὶ ἀνέμους. ὅταν δὲ ἐν νέφει ἀποληφθῇ ἄνεμος, ἔπειτα βίᾳ ῥήξῃ τὸ νέφος, βροντὰς καὶ ἀστραπὰς ἀποτελεῖ. εἰ δὲ ἐκπίπτοι ἡ ἀστραπὴ, κεραυνὸν ἀφίησιν· ὅπερ εἰδὼς ὁ ποιητὴς λέγει τὰ τοιαῦτα, ἀστράψας δὲ μεγάλ' ἔκτυπε. καὶ ἐν ἄλλοις, Ζεὺς δ' ἄμυδις βρόντησε, καὶ ἔμβαλε νηῒ κεραυνόν.

Θεοὺς εἶναι πάντες οἵ γε ὀρθῶς φρονοῦντες νομίζουσι, καὶ πρῶτος Ὅμηρος· αἰεὶ γὰρ μέμνηται τῶν θεῶν, λέγων, Μάκαρες θεοὶ ῥεῖα ζώοντες. ἀθάνατοι γὰρ ὄντες ῥᾳδίαν καὶ ἄπαυστον ἔχουσι τὴν τοῦ ζῆν φύσιν, καὶ οὐ δέονται τροφῆς, ἧς δεῖται τῶν θνητῶν ζώων τὰ σώμα-

hoc nostro climate habitant, Australis autem e contra profundus. Unde de Boreali quidem ait, *Æthrigena et Boreas volvens ad littora fluctus.* Innuens venti impetum e supernis irruere. quod autem dicit, *Pellebat,* indicat vim ex depressiore parte nitentem in arduum.

Quod autem et pluviarum generatio ex humida evaporatione fiat, commonstravit dicens, *Æthere demisit rorem mox sanguinolentum.* Et, *Atque effudit humi conspersas sanguine guttas.* Prædixerat enim, *Sanguine commaculat Xanthum Mavors truculentus. Ast animæ Plutonis in atri regna subibant.* Unde constat, quod hujusmodi humores, qui ex aquis terrestribus exhalant, quum aqua permixti fuerint, e supernis deorsum feruntur. Ejusdem rationis et illud est, *Autumni tempus vehemens, quo funditur imber.* Tum enim sol propter terræ siccitatem, ex profunditate humores extrahens, turbida et terrea refert: turbida autem præ pondere disrumpuntur. Humidæ itaque exhalationes, imbres procreant, siccæ ventos. Quando vero in nube ventus receptus fuerit, ac deinde nubem ruperit, tonitrua et fulgura creat. Sin vero fulgur excidat, fulmen emittit. Quod noscens Poëta, talia dicit: *Horrendum intonuit conjecto fulgure.* Et in aliis, *Jupiter intonuit, fulmen ratibusque trisulcum Intulit.*

Deos esse, quotquot recte sentiunt, arbitrantur, et imprimis Homerus. subinde namque deorum meminit, dicens: *Felices superi vitam duxere beatam. Perpetuam facilemque simul, quod sanguine, nec non Carne vacant, ideoque cibum, nec suavis Iacchi Munera degustant, mortalia pectora sicut.* Porro quum poësis opus haberet

τα. Οὐ γὰρ σῖτον ἔδȣσ', ȣ̓ πίνȣσ' αἴθοπα οἶνον, Τȣ̓νεκ' ἀναίμονές εἰσι, καὶ ἀθάνατοι καλέονται. ἐπεὶ δὲ ἐδεῖτο ἡ ποίησις θεῶν ἐνεργȣ́ντων, ἵνα τὴν γνώμην αὐτῶν αἰσθήσει τῶν ἐντυγχανόντων παραςήσῃ, περιέθηκεν αὐτοῖς σώματα (ȣ̓δὲν δὲ ἄλλο σώματος εἶδος, ἢ τȣ̃ ἀνθρώπȣ, δεκτικόν ἐςιν ἐπιςήμης καὶ λόγȣ) προςεικάσας ἕκαςον τῶν θεῶν μετὰ τȣ̃ κοσμῆσαι μεγέθει τε, καὶ κάλλει. ἅμα καὶ τȣ̃το ὑπέδειξε τὸ, εἰκόνας καὶ ἀγάλματα θεῶν, μετὰ τȣ̃ εἰς ἀνθρώπων εἶδος ἠκριβωμένα ἱδρύσθαι ὑπὲρ τȣ̃ παρέχειν ὑπόμνησιν καὶ τοῖς ἔλασσον φρονȣ̃σιν, ὅτι εἰσὶ θεοί. τȣ́των δὲ πάντων ἀρχηγὸν καὶ ἡγεμόνα τὸν πρῶτον θεὸν νομιζόντων τῶν ἀρίςων φιλοσόφων ἀσώματον ὄντα, καὶ νοήσει μᾶλλον καταληπτὸν, καὶ Ὅμηρος ταῦτα ὑπολαμβάνων φαίνεται, παρ' ᾧ λέγεται ὁ Ζεὺς πατὴρ ἀνδρῶν τε θεῶν τε. καὶ, Ὦ πάτερ ἡμέτερε Κρονίδη, ὕπατε κρειόντων, καὶ αὐτὸς μὲν ὁ Ζεύς φησιν, Ὅσσον ἐγὼ περί τ' εἰμὶ θεῶν, περί τ' εἰμ' ἀνθρώπων. ἡ δὲ Ἀθηνᾶ πρὸς αὐτόν. Εὖ νυ καὶ ἡμεῖς ἴδμεν ὅ τοι σθένος ȣ̓κ ἐπιεικτόν. εἰ δὲ δεῖ τȣ̃το ζητῆσαι εἰ νοητὸν ἠπίςατο τὸν θεὸν, ȣ̓κ ἄντικρυς μὲν, ἅτε ἐν ποιήσει πολὺ τὸ μυθῶδες ἐχȣ́σῃ, ὅμως δέ ἐςι καταμαθεῖν, ἐν οἷς φησίν. Εὗρεν δ' εὐρύοπα Κρονίδην ἄτερ ἥμενον ἄλλων· καὶ ἐν οἷς αὐτὸς λέγει, Ἀλλ' ἤτοι μὲν ἐγὼ μενέω πτυχῇ ȣ̓λύμποιο Ἥμενος, ἔνθ' ὁρόων φρένα τέρψομαι. ἡ γὰρ μόνωσις αὕτη, καὶ τὸ μὴ καταμιγνύειν τοῖς ἄλλοις θεοῖς ἑαυτὸν, ἀλλὰ χαίρειν ἑαυτῷ συνόντα καὶ χρώμενον, ἡσυχίαν ἄγοντι, καὶ ἀεὶ διακοσμȣ̃ντι τὰ πάντα, τὴν τȣ̃ νοητȣ̃ θεȣ̃ φύσιν παρίςησιν. οἶδε δὲ, ὅτι νȣ̃ς ἐςιν ὁ θεὸς ὁ πάντα ἐπιςάμενος, καὶ διέπων τὸ πᾶν. φησὶ γὰρ ὁ Ποσειδῶν, Ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένος ἠδέ τε πάτρη, Ἀλλὰ Ζεὺς πρότερος γέγονεν, καὶ πλείονα εἴδει. καὶ τȣ̃το

Diis minime ociosis, ut sententiam eorum sensibilitate contingentium rerum exponeret, eis corpora attribuit. Quum vero nulla alia corporis forma, præterquam hominis, scientiæ ac orationis capax sit, facta uniuscujusque deorum similitudine, cum ornatu, magnitudine, ac elegantia, simul et hoc subindicavit, quo pacto imagines et statuæ deorum ad hominum effigiem adeo accurate fabrefactæ ponerentur, ut specimen de se darent minus prudentibus, quod essent Dii. Cæterum cum præstantissimi quique philosophorum primarium illum Deum, ducem et principem omnium, incorporeum esse, ac cogitatione duntaxat comprehensibilem arbitrentur, Homerus quoque hæc credere videtur, apud quem Jupiter appellatur *Pater hominumque deumque. Jupiter o noster pater optime, summe regentum.* Imo et ipse Jupiter inquit: *Quantum ego Diis superis præsto, mortalibus atque.* Minerva denique ad eum: *Nos bene callemus, quam sit tua magna potestas.* Si vero et hoc quærere oportet, an Deum intelligibilem esse sciverit, non diserte quidem utpote in poësi, quæ multa fabulosa admixta habet attamen ex iis colligere licet, in quibus ait: *Invenitque Jovem, qui solus forte sedebat.* Et in quibus ipse ait: *Ast ego parte sedens cæli, delector abunde.* Illa namque solitudo, et quod aliis Diis se non conjungeret, sed semetipsum oblectaret, commodo ocio frueretur, ac semper omnia dispensaret, intelligibilis Dei naturam præ se fert. Novit præterea quod Deus mens est, quæ cuncta scit, et cuncta gubernat. Neptunus namque inquit, *Est patria, est æquale genus fratrique mihique, Jupiter at prior*

πολλάκις, Ἔνθ' ἄλλ' αὖτ' ἐνόησε· τοῦτο σημαίνει, ὅτι ἀεὶ διανοεῖται.

Τῆς δὲ τοῦ θεοῦ διανοίας ἔχεται καὶ ἡ πρόνοια, καὶ εἱμαρμένη, περὶ ὧν εἴρηνται λόγοι πολλοὶ παρὰ τοῖς φιλοσόφοις. τούτων δὲ πάντων τὰς ἀφορμὰς Ὅμηρος παρέσχε. καὶ τὰ μὲν τῆς προνοίας τῶν θεῶν τί ἂν καὶ λέγοι τίς; ὅπου διὰ πάσης τῆς ποιήσεως οὐ μόνον πρὸς ἀλλήλους ὑπὲρ τῶν ἀνθρώπων διαλέγονται, ἀλλὰ καὶ καταβάντες ἐπὶ τὴν γῆν τοῖς ἀνθρώποις ὁμιλοῦσιν. ὀλίγα δὲ παραδείγματος ἕνεκα θεασώμεθα, ἐν οἷς ἐστιν ὁ Ζεὺς λέγων πρὸς τὸν ἀδελφὸν, Ἔγνως, Ἐννοσίγαιε, ἐμὴν ἐνὶ στήθεσι βουλὴν, Ὧν ἕνεκα ξυνάγειρα, μέλουσί μοι ὀλλύμενοί περ. καὶ ἐν ἄλλοις, Ὢ πόποι, ἦ φίλον ἄνδρα διωκόμενον περὶ τεῖχος Ὀφθαλμοῖσιν ὁρῶμαι, ἐμὸν δ' ὀλοφύρεται ἦτορ.

Ἔτι δὲ τὸ βασιλικὸν ἀξίωμα, καὶ τὸ φιλάνθρωπον ἦθος ἐμφαίνει εἰπὼν, Πῶς ἂν ἔπειτ' Ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην, Ὃς περὶ μὲν νόον ἐστὶ βροτῶν, περὶ δ' ἱρὰ θεοῖσιν Ἀθανάτοισι δέδωκε, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν. ἐν οἷς ὁρᾷν ἐστιν, ὅτι ἐπῄνεσε τὸν ἄνδρα, πρῶτον ἐπὶ τῷ νοῦν ἔχειν, δεύτερον δὲ, ἐπὶ τῷ σέβειν θεούς. πῶς δὲ αὐτοῖς τοῖς ἀνθρώποις ὁμιλοῦντας καὶ συμπονοῦντας ποιεῖ τοὺς θεοὺς, ἐν πολλοῖς ἐστι καταμαθεῖν. ὥσπερ καὶ τὴν Ἀθηνᾶν, ποτὲ μὲν τῷ Ἀχιλλεῖ, ἀεὶ δὲ τῷ Ὀδυσσεῖ, καὶ τὸν Ἑρμῆν τῷ Πριάμῳ, καὶ αὖ πάλιν τῷ Ὀδυσσεῖ, καθόλου δὲ ἀεὶ τοὺς θεοὺς τοῖς ἀνθρώποις παραστατεῖν οἴεται. φησὶ γάρ· Καί τε θεοὶ ξείνοισιν ἐοικότες ἀλλοδαποῖσι Παντοῖοι τελέθοντες ἐπιστρωφῶσι πόληας, Ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφορῶντες. τῆς δὲ προνοίας τῶν θεῶν, ἴδιόν ἐστι τὸ βούλεσθαι δικαίως τοὺς ἀνθρώπους βιοῦν. καὶ τοῦτό φησιν ὁ ποιητὴς ἐναρ-

est genitus me, pluraque novit. Atque hoc sæpe, *Cogitat hic aliud rursus:* hoc innuens, quod semper cogitet.

Cæterum ad Dei mentem providentia et fatum pertinet, de quibus philosophi multa verba fecerunt. Horum autem omnium Homerus occasionem suppeditavit. Ac de providentia quidem Deorum quid attinet dicere? Quando per omnem poësim non tantum inter sese de hominibus disserunt, verum etiam in terram descendentes cum hominibus versantur. Sed pauca exempli gratia contemplemur, in quibus Jupiter ad fratrem inquit: *Scis Neptune, deos cur nostra palatia cæli Nunc teneant cunctos? curæ mihi sunt pereuntes.* Et in aliis: *Eheu, certe hominem fugientem mœnia circum Percharum video, pectusque meum cruciatur.*

Ad hæc regiam dignitatem, ac morum facilitatem innuit dicens: *Non ego divini posthac oblitus Ulyssis Esse queam, qui mente homines præcellit, et aris Divorum pecudes incendit, pinguia sacra.* In quibus cernere licet, quod virum illum primo a mentis perspicuitate, deinde a pietate erga deos collaudat. Cæterum quo pacto cum ipsis hominibus deos versantes ac laborantes fingat, in multis est perdiscere. Ut quum Minervam aliquando Achilli, semper autem Ulyssi, et Mercurium Priamo, atque in universum deos hominibus semper adesse putat, ait namque: *Dii superi ex æquo tractant homines peregrinos, Indigenasque simul, vastant et mœnia celsa, Justiciam spectant humanam, ac impia facta.* Divinæ autem providentiæ peculiare est, velle ut homines juste vivant. At istud Poëta clarissime inquit: *Improba facta hominum*

γέρατα. Οὐ γὰρ σχέτλια ἔργα θεοὶ μάκαρες φιλέουσιν, Ἀλλὰ δίκην τίουσι καὶ αἴσιμα ἔργ' ἀνθρώπων. καὶ, Ζεὺς ὅτε δή τ' ἄνδρεσσι κοτεσσάμενος χαλεπήνῃ, Οἳ βίῃ εἰν ἀγορῇ σκολιὰς κρίνωσι θέμιστας. ὥσπερ γὰρ τοὺς θεοὺς προνοουμένους τῶν ἀνθρώπων εἰσάγει, οὕτω καὶ τοὺς ἀνθρώπους μεμνημένους αὐτῶν ἐν πάσῃ τύχῃ. καὶ ὁ μὲν ευημερῶν στρατηγός φησιν· Ἔλπομαι εὐχόμενος Διΐ τ' ἄλλοισίν τε θεοῖσιν Ἐξελάαν ἐνθένδε κύνας κηρεσσιφορήτους. ὁ δὲ κινδυνεύων, Ζεῦ πάτερ, ἀλλὰ σὺ ῥῦσαι ὑπ' ἠέρος υἷας Ἀχαιῶν. καὶ πάλιν ὁ μὲν κτείνας· Ἐπειδὴ τόνδ' ἄνδρα θεοὶ δαμάσασθαι ἔδωκαν. ὁ δὲ θνήσκων, Φράζεο νῦν μή τοί τι θεῶν μήνιμα γένωμαι. πόθεν οὖν ἄλλοθεν, ἢ ἐκ τῶν εἰρημένων ἐστὶ τὸ δόγμα ἐκεῖνο τῶν Στωϊκῶν; τὸ δὲ ἕνα μὲν εἶναι τὸν κόσμον, συμπολιτεύεσθαι δὲ ἐν αὐτῷ θεοὺς καὶ ἀνθρώπους δικαιοσύνης μετέχοντας φύσει. καὶ γὰρ ὅταν εἴπῃ· Ζεὺς δὲ Θέμιστ' ἐκέλευσε θεοὺς ἀγορήνδε καλέσσαι — Τίπτ' αὖτ' ἀργικέραυνε θεοὺς ἀγορήνδε καλέσσας, Ἦ τι περὶ Τρώων καὶ Ἀχαιῶν μερμηρίζεις; τί ἄλλο ὑποδείκνυσιν, ἢ ὅτι νόμῳ πόλεως ὁ κόσμος διοικεῖται; καὶ προβουλεύονται οἱ θεοὶ, ἐξάρχοντος τοῦ θεῶν τε καὶ ἀνθρώπων πατρός;

Τὴν δὲ περὶ τῆς εἱμαρμένης δόξαν δείκνυσιν ἐν ἐκείνοις σαφῶς· Μοῖραν δ' οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν, Οὐ κακὸν, οὐδὲ μὲν ἐσθλὸν, ἐπὴν τὰ πρῶτα γένηται. καὶ ἐν οἷς ἄλλοις κρατύνει τὴν δύναμιν τῆς εἱμαρμένης. Ἡγεῖται μέντοι καὶ αὐτὸς, ὥσπερ καὶ μετ' αὐτὸν οἱ δοκιμώτατοι τῶν φιλοσόφων, Πλάτων καὶ Ἀριστοτέλης καὶ Θεόφραστος, οὐ πάντα καθ' εἱμαρμένην παραγίνεσθαι, ἀλλά τι καὶ ἐπὶ τοῖς ἀνθρώποις εἶναι, ὧν ὑπάρχειν μὲν τὸ ἑκούσιον· τούτῳ δέ πως συνάπτειν τὸ κατηναγκασμένον, ὅταν τις

superi aversantur, honestos Eximiosque viros precio dignatur habere. Et: *Quandocunque nocet succensens Jupiter illis, Qui violenter agunt, jus figunt atque refigunt.* Porro quemadmodum deos hominibus prospicientes, ita et homines istorum memores in quavis fortuna, inducit. Atque dux quidem prospere agens, inquit: *Spes me magna tenet, votumque Jovi, superisque Cunctis nunc facio, quod propulsabo canes hinc.* Periclitans vero, *Jupiter ac rogito, servabis ab aëre Græcos.* Et rursus is, qui interfecerat: *Quandoquidem hunc hominem domui virtute deorum.* Moriens vero: *Prospice ne mea mors conflet tibi numinis iram.* Unde igitur potius illud Stoicorum placitum, quam ex prædictis, ortum habet? unum esse mundum, atque in eo et deos et homines, qui natura justitiæ participes sunt, rempublicam simul administrare. Etenim quando inquit: *Diva Themis superos jussu Jovis ante coëgit, Cur tu rursus eos cogis, qui fulmine splendes, Nunquid sollicitus de Teucris, nunquid Achivis?* Quid aliud innuit, quam quod mundus civilibus legibus administretur? atque dii præconsultent, præsidente deorum et hominum patre?

Cæterum opinionem de fato, in illis ostendit perspicue: *Fata sua effugiet non quisquam, sive malus sit, sive bonus, primum quum lucem aspexerit almam.* At inter alia, in quibus fati potentiam confirmat, ipse quoque arbitratur, sicut et probatissimi philosophorum qui post eum vigerunt, Plato, Aristoteles, ac Theophrastus, quod non omnia fato eveniant, sed aliquid etiam in hominibus sit situm, ut quibus libera sit voluntas. Huic autem necessitatem quodammodo conjungi, dum aliquis hoc, quod

πράξας ὃ βέλεται, εἰς ὃ μὴ βέλεται ἐμπέσῃ. καὶ ταῦτα σαφῶς ἐν πολλοῖς δεδήλωκεν· ὥςτε καὶ ἐν ταῖς ἀρχαῖς ἑκατέρας τῆς ποιήσεως, ἐν μὲν τῇ Ἰλιάδι λέγων τὴν ὀργὴν τῦ Ἀχιλλέως αἰτίαν τῆς ἀπωλείας τῶν Ἑλλήνων γενέσθαι, καὶ τότε τὴν Διὸς βέλησιν ἐκτελεσθῆναι. ἐν δὲ τῇ Ὀδυσσείᾳ τὺς ἑταίρυς τῦ Ὀδυσσέως διὰ τὴν αὐτῶν ἀβελίαν ὀλέθρῳ περιπεσεῖν. ἐξήμαρτον γὰρ ἁψάμενοι τῶν ἱερῶν τῦ Ἡλίυ βοῶν, ἐξὸν ἀποσχέσθαι αὐτῶν. καὶ γὰρ ἦν προειρημένον, Τὰς εἰ μέν κ' ἀσινέας ἐάσῃς, νόςυ δὲ μέδηαι, Καί κεν ἔτ' εἰς Ἰθάκην, κακά περ πάσχοντες, ἵκοισθε· Εἰ δέ κε σίνηαι, τότε τοι τεκμαίρομ' ὄλεθρον. οὕτως τὸ μὲν μὴ ἀδικῆσαι ἐπ' αὐτοῖς, τὸ δὲ ἀδικήσαντας ἀπολέσθαι, ἐκ τῆς εἱμαρμένης ἀκόλυθον ἦν. ἔνεςι δὲ καὶ τὸ ἄλλως συμβαῖνον ἐκ προνοίας διαφυγεῖν, ὅπερ ἐν τύτῳ παρίςησιν· Ἔνθα δὲ καὶ δύςηνος ὑπὲρ μόρον ὤλετ' Ὀδυσσεὺς, Εἰ μὴ ἐπὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις Ἀθήνη. ἀμφοτέρῃσι δὲ χερσὶν ἐπεσσύμενος λάβε πέτρης, Τῆς ἔχετο ςενάχων, εἵως μέγα κῦμα παρῆλθεν. ἐνταῦθα γὰρ ἐκ τῦ ἐναντίυ κινδυνεύων ὑπὸ τύχης ἀπολέσθαι, ἐκ προνοίας ἐσώθη.

Καθάπερ δὲ περὶ τῶν θείων πολλοὶ καὶ ποικίλοι παρὰ τοῖς φιλοσόφοις τὰς πλείςας ἀφορμὰς ἐξ Ὁμήρυ λαβῦσιν, ὕτω καὶ περὶ τῶν ἀνθρωπείων πραγμάτων· ὧν πρῶτον περὶ τῆς ψυχῆς πειρασώμεθα. τὸ μὲν δὴ τῶν δογμάτων, Πυθαγόρυ καὶ Πλάτωνος γενναιότατόν ἐςι, τὸ εἶναι τὴν ψυχὴν ἀθάνατον, ᾗ καὶ πτερὰ τῷ λόγῳ προςτίθησιν ὁ Πλάτων. τίς ὖν τῦτο πρῶτον ἀνεφώνησεν; Ὅμηρος, εἰπὼν ἄλλα τε, καὶ ταῦτα· Ψυχὴ δ' ἐκ ῥεθέων πταμένη, ἄϊδόςδε βεβήκει, εἰς τὸν ἀειδῆ καὶ ἀόρατον, εἴτε ἀέρα θείη τις, εἴτε ὑπόγειον τόπον. καὶ ἐν μὲν τῇ Ἰλιάδι ποιῶν τὴν τῦ Πατρόκλυ

vult, acto, in id, quod non vult, incidit. Atque hæc perspicue in multis declaravit, ut in utriusque poëmatis exordio; in Iliade dicens, Achillis iram Graiis exitii causam fuisse, atque tum Jovis voluntatem completam esse: in Odyssea vero, Ulyssis socios propter temeritatem in perniciem incidisse. Deliquerant enim, dum sacras Phœbi boves attigerant, cum ab eis abstinere licuisset. Ad hunc enim modum prædictum erat. *Has modo si vaccas dimiseris ire quiete, In patriam reditum, quamvis jactatus, habebis: Lædere sin tentes, me prædicente peribis.* Sic non violare, in ipsis situm: perire autem, quum violassent, ex fato consequens erat. Possumus autem et alio modo fortuita evitare per providentiam, id quod in illo monstrat: *Hic Laërtiades præter fatum periisset, Cæsia ni Pallas dea suggessisset, utraque Palma corriperet saxum cupide, idque teneret, Donec spumosum, tumidumque quiesceret æquor.* Hic enim e contrario periclitans, quantum ad fortunam, interierat, per providentiam autem servatus est.

Quemadmodum vero de divinis rebus multi et varii philosophi plurimas occasiones ab Homero acceperunt, sic et de humanis. Inter quas primo de anima periculum faciamus. Inter placita sane Pythagoræ et Platonis celeberrimum est, quod sentiunt animam immortalem esse: cui et alas Plato, ut ferunt, attribuit. Quis ergo istud pronunciavit? Homerus, qui inter alia et hæc dicit: *Ast anima ex membris volitat Plutonis in ædes.* In obscurum inquam, et inconspicuum locum, sive quis hunc aëreum, sive subterraneum existimet. Atque in Iliade quidem Patrocli animam dor-

ψυχὴν ἐφισταμένην κοιμωμένῳ τῷ Ἀχιλλεῖ· Ἦλθε δ' ἔπι ψυχὴ Πατροκλῆος δειλοῖο· καὶ λόγους αὐτῷ περιτίθησιν, ἐν οἷς καὶ τοῦτο λέγει· Τῆλέ με εἴργουσι ψυχαὶ, εἴδωλα καμόντων. ἐν δὲ τῇ Ὀδυσσείᾳ δι' ὅλης τῆς νεκυΐας τί ἄλλο, ἢ τὰς ψυχὰς δείκνυσι μετὰ θάνατον διαμενούσας, καὶ φθεγγομένας ἅμα τῷ πιεῖν τοῦ αἵματος; καὶ γὰρ τοῦτο ᾔδει, ὅτι τὸ αἷμα νομὴ καὶ τροφή ἐστι τοῦ πνεύματος. τὸ δὲ πνεῦμα, ἐστὶν αὐτὴ ἡ ψυχὴ, ἢ ὄχημα τῆς ψυχῆς.

Ἐναργέστατα δὲ κἀκεῖνο ἀπέφηνεν, ὅτι τὸν ἄνθρωπον οὐδὲν ἄλλο ἢ τὴν ψυχὴν νομίζει, ἐν οἷς λέγει· Ἦλθε δ' ἔπι ψυχὴ Θηβαίου Τειρεσίαο, Χρύσεον σκῆπτρον ἔχων. ἐπίτηδες γὰρ ἀπὸ τοῦ τῆς ψυχῆς ὀνόματος εἰς τὸ ἀῤῥενικὸν μετέβαλεν, ἵνα δείξῃ, ὅτι ἡ ψυχὴ ἦν ὁ Τειρεσίας. καὶ ἐν τοῖς ἑξῆς πάλιν· Τὸν δὲ μέτ' εἰσενόησα βίην Ἡρακλείην, Εἴδωλον, αὐτὸς δὲ μετ' ἀθανάτοισι θεοῖσι. καὶ γὰρ ἐν τούτοις πάλιν ἐδήλωσεν, ὅτι τὸ μὲν εἴδωλον, ὅπερ ἦν ἀπεστασμένον τοῦ σώματος, οὐκέτι τῆς ἐκείνου ὕλης ἐφελκόμενον ἐφαντάζετο. τὸ δὲ καθαρώτατον τῆς ψυχῆς ἀπελθὸν, αὐτὸς ἦν ὁ Ἡρακλῆς. Ὅθεν κἀκεῖνο δοκεῖ τοῖς φιλοσόφοις, εἶναι τὸ σῶμα τρόπον τινὰ τῆς ψυχῆς δεσμωτήριον. καὶ τοῦτο δὲ Ὅμηρος πρῶτος ἐδήλωσε. τὸ μὲν γὰρ τῶν ζώντων ἀεὶ δέμας προσαγορεύει, ὡς ἐν τούτοις· Οὐ δέμας, οὐδὲ φυήν. καὶ δέμας δ' ἤϊκτο γυναικί. καὶ, Ἤτοι ἐμὴν ἀρετὴν, εἶδός τε, δέμας τε. τὸ δὲ ἀποβεβληκὸς τὴν ψυχὴν, οὐδὲν ἄλλο ἢ σῶμα καλεῖ, ὡς ἐν τούτοις. Σῶμα δὲ οἴκαδ' ἐμὸν δόμεναι πάλιν. καὶ, Σώματ' ἀκηδέα κεῖται ἐνὶ μεγάροις Ὀδυσῆος. καὶ, Σῶμα γὰρ ἐν Κίρκης μεγάρῳ κατελείπομεν ἡμεῖς. τὸ γὰρ αὐτὸ ζῶντος μὲν τοῦ ἀνθρώπου δεσμὸς ἦν τῆς ψυχῆς· τελευτήσαντος δὲ, ὥσπερ σῆμα καταλείπεται.

mienti Achilli assistere fingit, *Umbra Menœtiadæ adiit miserabilis illum.* Sermocinationem quoque ei affingit, in qua inter alia hoc dicit, *Me prohibent alii manes transmittere flumen.* In Odyssea vero quid aliud in toto descensu ad inferos demonstrat, quam quod animæ post mortem superstites sint, et quum de sanguine biberint, loquantur? Norat enim quod sanguis, pastus et cibus sit spiritus, spiritus vero ipsa anima, seu animæ vehiculum.

Evidentissime autem et illud ostendit, quod existimet hominem nihil aliud esse, quam animum, in quibus ait: *Tiresiæ Thebani animus dein venerat ad me, Aurea sceptra tenens.* De industria namque a fœminino animæ nomine, in masculinum ἔχων, transiit ut ostenderet, quod Tiresias esset animus. Atque in sequentibus rursus: *Post hunc Amphytrionidæ adverti simulachrum: Ipsus enim in superis agitat convivia læta.* Etenim in his rursus declaravit, quod simulacrum a corpore liberum, non jam ab animæ materia trahi conspiciebatur: animæ vero purissima pars, quæ discesserat, erat ipse Hercules. Unde et illud philosophis videtur, quod corpus animæ quodammodo ergastulum sit. Atque hoc Homerus primus declaravit. Siquidem corpus viventium subinde *demas*, quod a vinciendo nomen habet, nuncupat. ut in illis: *Nec corpore nec indole.* Item: *Corpore autem referebat fœminam.* Et: *Virtutemque meam, speciemque et corpus.* Cæterum id quod animam exuit, non aliter quam *Soma* appellat. ut in his: *Soma meum Priamo reddas, Hecubæque parenti.* Et: *Ædibus in Circes nos soma reliquimus omnes.* Idem namque corpus. dum vivere:

Τέτῳ δὲ ἕπεται καὶ ἕτερον δόγμα τῦ Πυθαγόρε, τὸ μεταβαίνειν τὰς ψυχὰς τῶν τελευτησάντων εἰς ἕτερα σωμάτων εἴδη. ἀλλ' ἐδὲ τῦτο τῆς ʽΟμήρε διανοίας ἐκτός ἐςιν. ὁ γὰρ ποιήσας τὸν Ἕκτορα τοῖς ἵπποις διαλεγόμενον, καὶ τὸν Ἀντίλοχον, καὶ αὐτὸν τὸν Ἀχιλλέα, καὶ μὴ ὅτι διαλεγόμενον, ἀλλὰ καὶ ἀκέοντα, καὶ τὸν κύνα πρὸ τῶν ἀνθρώπων καὶ τῶν οἰκείων ἐπιγινώσκοντα τὸν Ὀδυσσέα, τί ἄλλο ἢ τὴν κοινωνίαν τῦ λόγε, καὶ συγγένειαν τῆς ψυχῆς τῶν ἀνθρώπων, καὶ τῶν ἄλλων ζώων παρίςησι; καὶ οἱ τὰς βῦς τῦ ʽΗλίε καταφαγόντες, καὶ ἐκ τέτων ὀλέθρῳ περιπεσόντες, ἐλέγχεσιν, ὅτι ἐ μόνον βόες, ἀλλὰ καὶ πάντα τὰ ἄλλα ζῶα ὡς τῆς αὐτῆς φύσεως ζωτικῆς μετέχοντα, τιμᾶται ὑπὸ τῶν θεῶν. καὶ τὸ μεταβάλλειν δὲ τὲς ἑταίρες τῦ Ὀδυσσέως εἰς σύας, καὶ τοιαῦτα ζῶα, τῦτο αἰνίττεται, ὅτι τῶν ἀφρόνων ἀνθρώπων αἱ ψυχαὶ μεταλλάττεσιν εἰς εἴδη σωμάτων θηριωδῶν, ἐμπεσῦσαι εἰς τὴν τῦ παντὸς ἐγκύκλιον περιφορὰν, ἣν Κίρκην προςαγορεύει. καὶ κατὰ τὸ εἰκὸς ἡλίε παῖδα ὑποτίθεται οἰκῦσαν ἐν τῇ Αἰαίῃ νήσῳ. ταύτην δὲ ἀπὸ τῦ αἰάζειν καὶ ὀδύρεσθαι τὲς ἀνθρώπες ἐπὶ τοῖς θανάτοις κέκληκεν.

ʽΟ δὲ ἔμφρων ἀνὴρ αὐτὸς ὁ Ὀδυσσεὺς ἐκ ἔπαθε τὴν τοιαύτην μεταβολὴν, παρὰ τῦ ʽΕρμῦ, τετέςι τῦ λόγε, τὸ ἀπαθὲς λαβών. αὐτὸς δὲ ἔτος καὶ εἰς ᾅδε κάτεισιν (ὥςπερ εἰ ἔλεγε χωρίζειν τὴν ψυχὴν ἀπὸ τῦ σώματος) καὶ θεατὴς ψυχῶν τῶν τε ἀγαθῶν καὶ φαύλων γιγνόμενος. αὐτὴν δὲ τὴν ψυχὴν οἱ Στωϊκοὶ ὁρίζονται πνεῦμα συμφυὲς, καὶ ἀναθυμίασιν αἰσθητικὴν ἀναπτομένην ἀπὸ τῶν ἐν σώματι ὑγρῶν, ʽΟμήρῳ ἀκολεθήσαντες λέγοντι· εἰςόκ'

homo, animæ vinculum erat: eo autem defuncto, perinde ut monumentum relinquitur.

Huic vero et aliud Pythagoræ dogma consentaneum est, quod scilicet defunctorum animæ in alias corporum species transeant. Id quod nec Homerum latuit. Dum enim Hectorem, Antilochum, et Achillem equis colloquentem imo non tantum colloquentem, sed etiam auscultantem, denique Ulyssem prius a cane, quam ab hominibus, adeoque familiaribus agnitum finxit, quid aliud quam rationis commercium, et animæ cognationem inter homines ac reliqua animantia insinuat? Ad hæc. qui Solis vaccas devoraverant, et sibi exitium accersiverant, argumento sunt, quod non tantum boves, verumetiam reliqua animantia, quippe eandem vivendi naturam habentia, a Diis in precio habeantur. Mutatio autem sociorum Ulyssis in sues, et ejusmodi animantia, sub verborum involucro significat, quod imprudentium hominum animæ, in belluinorum corporum species mutentur, quum in universi orbicularem circumferentiam, quam Circen appellat, inciderint. Unde et merito filiam Solis in Ææa insula habitantem ponit: atque hanc ex eo sic nuncupat, quod homines mortis causa lamententur ac lugeant.

At ille ipse prudens vir Ulysses, istiusmodi mutationem non est passus, quod a Mercurio, id est ratione, immutabilitatem sumpsisset. Is autem ipse etiam ad inferos commeat, (tanquam diceret, animam a corpore separari) ideoque animarum tum bonarum, tum pravarum spectator fit. Cæterum Stoici ipsam animam definientes, esse spiritum cognatum et sensibilem exhalationem, quæ ex humani corporis humiditate emergat, Homeri vestigiis insistunt, cum inquit: *Donec halitus in pectore manserit.*

αὐτμὴ ἐν ςήθεσσι μένῃ. καὶ πάλιν· Ψυχὴ δὲ κατὰ χθονὸς, ἠΰτε καπνός. ἐν οἷς τὸ μὲν ζωτικὸν πνεῦμα ἅτε ἔνικμον [a] ἀντιδιδοῖ, τὸ δὲ κατασβεννύμενον ἤδη, καπνῷ ἀπεικάζει. καὶ αὐτῷ δὲ τῷ τῦ πνεύματος ὀνόματι κέχρηται ἐπ' αὐτῆς, ὡς εἰπών· ἔμπνευσε μένος μέγα ποιμένι λαῶν. καὶ Θυμὸν ἀποπνείων. καὶ Ἡ δ' ἐπεὶ ἦν ἄμπνυτο, καὶ ἐς φρένα θυμὸς ἀγέρθη· τυτέςι, τὸ πνεῦμα διεσπασμένον συνελέξατο. καὶ, Αὖθις δ' ἀμπνύνθη, παρὰ δὲ πνοιὴ βορέαο Ζώγρει ἐπιπνείυσα κακῶς κεκαφηότα θυμόν. τῦ γὰρ λειποθυμῦντος τὸ πνεῦμα ῥιπίσασα ἡ ἔξωθεν πνοὴ, συμφυὴς ὖσα, ζῶντα αὐτὸν κατέςησε. συναίρεται δὲ τῷ λόγῳ, ὅτι καὶ ἐπὶ τῦ ἐκτὸς πνεύματος τῷ τῆς ψυχῆς ὀνόματι κέχρηται εἰπών· Ἦκα μάλα ψύξασα. βέλεται γὰρ εἰπεῖν ἀντιπνεύσασα.

Πλάτων δὲ καὶ Ἀριςοτέλης τὴν ψυχὴν ἀσώματον εἶναι ἐνόμισαν, ἀεὶ δὲ περὶ σῶμα εἶναι, καὶ τῦτο ὥςπερ ὀχήματος δεῖσθαι. διὸ καὶ ἀπαλλασσομένην τῦ σώματος, τὸ πνευματικὸν ἐφέλκεσθαι πολλάκις καθάπερ ἐκμαγεῖον, ἣν ἔσχε τῷ σώματι μορφὴν διαφυλάσσυσαν, ὅτως ἂν καὶ Ὅμηρος ὐδαμῦ τῆς ποιήσεως εὑρεθήσεται σῶμα τὴν ψυχὴν καλῶν, ἀλλὰ τὸ ἐςερημένον ψυχῆς ἀεὶ τύτῳ τῷ ὀνόματι προςαγορεύει, ὡς καί τινων ἐν τοῖς πρόςθεν ἐμνημονεύσαμεν. τῆς δὲ ψυχῆς, ἐχύσης ὡς καὶ τοῖς φιλοσόφοις δοκεῖ, τὸ μὲν λογικὸν, ἐνιδρυμένον τῇ κεφαλῇ, τὸ δὲ ἄλογον, καὶ τύτυ, τὸ μὲν θυμικὸν ἐνοικῦν τῇ καρδίᾳ, τὸ δὲ ἐπιθυμητικὸν ἐν τοῖς περὶ τὴν γαςέρα, ἆρ' ὖν ὐ πρότερος Ὅμηρος οἶδε τὴν τύτυ διαφορὰν, ὃς ἐποίησεν, ἐπὶ μὲν τῦ Ἀχιλλέως τὸν λογισμὸν τῷ θυμῷ μαχόμενον, καὶ ἐν τῇ αὐτῇ ῥοπῇ διανούμενον ἢ ἀμύνεσθαι τὸν λελυπηκότα, ἢ

Et rursus: *Ast animus subter terram ceu fumus abivit.* In quibus vivacem spiritum veluti humidum facit: eum autem qui jam extinguitur, fumo comparat. Atque illo ipso spiritus nomine pro anima usus est, fatus ita: *Inspirat vim pastori populorum.* Et, *Expirans animam:* Et, *Respirans igitur, mentem in præcordia legit.* Hoc est, spiritum distractum collegit. Et: *Respirabat, ubi, Boreæ flatus veniebat, Restituens animum, male qui discesserat inde.* Nam externus flatus affinis, suscitato ejus spiritu, qui animo defecerat, vitæ eum restituit. Nec ratione caret, quod etiam pro externo flatu, animæ nomine usus est, dicens, *Leviter admodum animans.* nam dicere vult, quum respirare fecisset.

Cæterum Plato et Aristoteles animam incorpoream esse putaverunt, semper autem circa corpus versari, atque hoc tanquam vehiculo indigere, propterea quod, etiam dum a corpore liberatur, sæpenumero veluti imaginem spiritualem ejus formæ induit, quæ corpori fuerat. Sic et Homerus nusquam in poësi deprehendetur animæ corpus tribuere, sed hoc, quod anima privatum est, semper isto nomine appellare: ut et in superioribus quorundam meminimus. Cum vero anima, ut et philosophis placet, duas potissimum partes habeat, unam rationalem, quæ capiti insidet, alteram irrationalem, cujus pars quidem animosa in corde, cupiditas vero in præcordiis sedem habet, an non Homerus hujus rei discrimen prior vidit, quando in Achille rationem cum iracundia pugnantem finxit, ac in eodem momento deliberantem, num se de eo, qui

a Ἀντιδιδοῖ,] An ἀποδιδοῖ.

παῦσαι τὸν χόλον; Ἕως ὃ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν· τουτέστι τὴν φρόνησιν, καὶ τὴν ἀντικειμένην αὐτῷ θυμικὴν ὀργήν, ἧς τὴν φρόνησιν ἐπικρατοῦσαν πεποίηκε. τοῦτο γὰρ αὐτῷ ἡ ἐπιφάνεια τῆς Ἀθηνᾶς βούλεται. καὶ ἐν ἄλλοις δὲ ποιεῖ τὸν λογισμὸν τῷ θυμῷ παραινοῦντα, καὶ ὥσπερ ἄρχοντα τῷ ὑποτεταγμένῳ κελεύοντα· Τέτλαθι δή, κραδίη, καὶ κύντερον ἄλλο ποτ' ἔτλης. καὶ πολλάκις μὲν τῷ λογισμῷ πείθεται τὸ θυμούμενον, ὡς ἐν τούτοις· Ὣς ἔφατ', ἐν στήθεσσι καθαπτόμενος φίλον ἦτορ, Τῷ δ' αὖτ' ἐν πείσῃ κραδίη μένε τετληκυῖα. ὁμοίως δὲ καὶ τὸ λυπούμενον· Ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν, ἀχνύμενοί περ, Θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκῃ. ἐνίοτε δὲ περιγενόμενον τὸν θυμὸν τοῦ λογισμοῦ παρίστησιν, ὅπερ οὐκ ἐπαινῶν, ἀλλὰ ψέγων φανερός ἐστιν. ὡς ὁ Νέστωρ τῷ Ἀγαμέμνονι τὴν εἰς τὸν Ἀχιλλέα ὕβριν ὀνειδίζων φησίν· Οὔ τι καθ' ἡμέτερόν γε νόον· μάλα γάρ τοι ἔγωγε Πόλλ' ἀπεμυθεόμην, σὺ δὲ σῷ μεγαλήτορι θυμῷ Εἴξας, ἄνδρα φέριστον, ὃν ἀθάνατοί περ ἔτισαν, Ἠτίμησας. ὅμοια δὲ τούτοις καὶ ὁ Ἀχιλλεὺς πρὸς τὸν Αἴαντα λέγει· Πάντα τί μοι κατὰ μοῖραν ἐείσω μυθήσασθαι· Ἀλλά μοι οἰδάνεται κραδίη χόλῳ, ὁππότ' ἐκείνου Μνήσομαι, ὅς μ' ἀσύφηλον ἐν Ἀργείοισιν ἔρεξεν. οὕτω δὲ καὶ ὑπὸ φόβου ἐστὶν ὅτε ὁ λογισμὸς ἐξίσταται· ὅπου Ἕκτωρ μὲν διανοεῖται ὑποστῆναι τὴν πρὸς τὸν Ἀχιλλέα μάχην. Βέλτερον αὖτ' ἔριδι ξυνελαυνέμεν, ὅττι τάχιστα Εἴδομεν, ὁπποτέρῳ κεν ὀλύμπιος εὖχος ὀρέξῃ. εἶτ' ἀναχωρεῖ πλησίον γενομένου τοῦ Ἀχιλλέως. Ἕκτορα δ', ὡς ἐνόησεν, ἕλε τρόμος· οὐδὲ γὰρ ἔτλη Αὖθι μένειν, ὀπίσω δὲ πύλας λίπε, βῆ δὲ φοβηθείς.

Ἔστι δὲ κἀκεῖνο δῆλον, ὅτι τὰ πάθη περὶ τὴν καρδίαν συνίστησιν·

læserat, ulcisceretur, an iram sedaret? *Hactenus hæc animo volvens, ac mente volutans.* Hoc est prudentiam, et ei oppositam furibundam iram, quam a prudentia superari finxit: hoc namque ei Minervæ apparitio vult. Præterea etiam in aliis iracundiam per rationem admoneri finxit, atque hanc ceu principem subditæ imperare. *Cor tolera, quondam longe majora tulisti.* Sæpe etiam iracundia rationi obsequitur: *Fatus erat postquam, sua corda in pectore frenat. Factus erat rursus tolerans, et corde quietus.* Similiter et ægritudo: *Hæc mala mittamus, quanquam sunt tristia valde. Pectoribus læti ponamus mente dolorem.* Nonnunquam vero rationem ab iracundia superari ostendit: id quod non laudare, sed vituperare videtur, ut quum Nestor Agamemnoni contumeliam, qua Achillem affecerat, exprobrans inquit: *Consilio nostro nequaquam, namque ego multis Dissuasi, sed tu cordi indulgere superbo Malebas, fortemque virum contemnere, magno Qui superis precio fuerat, summoque in honore.* His autem similia Achilles quoque Ajaci loquitur: *Omnia vera quidem dixisti, proque decoro. At cor bile tumet, quando hujus cunque recordor, Qui me præ cunctis nihili modo fecit Achivis.* Sic etiam est quando præ timore ratio obstupefit, ut cum Hector secum deliberat, an cum Achille congressurus sit. *Est satius multo ut Pelidæ congrediamur, Et videamus utrum faciet victoria clarum.* Deinde recedit, ubi Achilles propius accesserat: *Hectora, cum sensit, rapuit metus, ut fugeret mox, Linqueret ut post se portas, et mœnia Trojæ.*

Manifestum vero et illud est, quod animi perturbationes circa cor constituat, iram

ὀργὴν μὲν οὕτως· κραδίη δέ οἱ ἔνδον ὑλάκτει. λύπην δέ· τέο μέχρις ὀδυρόμενος, καὶ ἀχεύων Σὴν ἔδεαι κραδίην. τὸν δὲ φόβον· κραδίη δέ μοι ἔξω Στηθέων ἐκθρώσκει, τρομέει δ᾽ ὑπὸ φαίδιμα γυῖα. κατὰ τὸν αὐτὸν δὲ λόγον, ὥσπερ τὸν φόβον, οὕτω καὶ τὸ θάρσος, περὶ καρδίαν ἀποφαίνει. ἐν δὲ σθένος ὦρσεν ἑκάστῳ Καρδίῃ ἄλληκτον πολεμίζειν, ἠδὲ μάχεσθαι. ἐκ δὲ τῶν εἰρημένων ἔδοξε τοῖς Στωϊκοῖς, τὸ ἡγεμονικὸν εἶναι περὶ καρδίαν. τὸ δὲ ἐπιθυμητικὸν ὅπως περὶ γαστέρα, ἐν πολλοῖς διασαφεῖ, καὶ ἐν τούτοις· ἀλλά με γαστὴρ Ὀτρύνει κακοεργός. καὶ, Γαστέρα δ᾽ οὔπως ἐστὶν ἀποκρύψαι μεμαυῖαν. καὶ τὰς αἰτίας δὲ τῶν περὶ τὸ θυμικὸν μέρος τῆς ψυχῆς φύσει συμβαινούσας κατεῖδε, τὴν μὲν ὀργὴν ὑπὸ λύπης ἐγγινομένην, ζέσιν δέ τινα τοῦ αἵματος, καὶ τοῦ ἐν αὐτῷ πνεύματος οὖσαν ἐμφαίνων, ὡς ἐν τούτοις· Ἀχνύμενος, μένεος δὲ μέγα φρένες ἀμφιμέλαιναι Πίμπλαντ᾽, ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι εἴκτην. μένος γὰρ τὸ πνεῦμα προσαγορεύειν ἔοικε, τοῦτο δὲ ἐγγίνεσθαι καὶ φλέγεσθαι ἐπὶ τῶν θυμουμένων οἴεται. πάλιν δὲ αὖ τὸ τῶν φοβουμένων πνεῦμα συγχεόμενον καὶ καταψυχόμενον, τὰς φρίκας καὶ τοὺς τρόμους ποιεῖ, καὶ τὰς ὠχριώσεις ἐν τοῖς σώμασι. πάντα γὰρ ταῦτα συμβαίνει ὑπὸ ψύξεως, ἡ μὲν ὠχρότης, ὅτι τοῦ θερμοῦ συντρέχοντος εἰς τὰ μέσα, τὸ ἔρευθος ἀπολείπει τὴν ἐπιφάνειαν· ὁ δὲ τρόμος, ὅτι ἐντὸς συνειλούμενον τὸ πνεῦμα ἀράσσει τὸ σῶμα· ἡ δὲ φρίκη, ὅτι πηγνυμένου τοῦ ὑγροῦ, αἱ τρίχες πιεζόμεναι ἀνίστανται. πάντα οὖν ταῦτα σαφῶς σημαίνει Ὅμηρος. φησὶ γάρ τό· Χλωροὶ ὑπαὶ δείους. καὶ, χλωρὸν δέος ᾕρει. καὶ, τρομέει ὕπο φαίδιμα γυῖα. καὶ, Ὣς φάτο, σὺν δὲ γέροντι νόος χύτο. δείδιε δ᾽ αἰνῶς, Ὀρθαὶ

quidem ad hunc modum. *Cor autem ei intus latrabat.* Ægritudinem vero: *Lugens, atque dolens, laceras cur pectora chara?* Metum vero: *Exciderat que mihi cor charo pectore lugens, Subque tremunt membra.* Porro qua ratione metum, eadem et audaciam juxta cor esse declarat: *Cor furit in sævum sine fine incurrere Martem.* Cæterum quando inter prædicta, Stoicis videtur, rationem tanquam principem in corde, cupiditatem vero circa præcordia esse sitam, Homerus id cum in aliis multis, tum in his perspicuum facit: *Sed me venter stimulat maleficus.* Et: *Haudquaquam ventrem licet occultare volenti.* Præterea et causas eorum, quæ penes animosam animæ partem sunt, et a natura contingunt, pervidit. Quippe iram ex ægritudine nasci, et sanguinis ac spiritus, qui in eo est, fervorem quendam esse demonstrat: ut, *Ægre fert adeo, ut præcordia sanguine plena, Utque micent oculi subito velut ignea lampas.* Pro spiritu namque μένος, id est iram ponere videtur, eumque in irascentibus nasci et incendi existimat. Porro quum is rursus in metuentibus perturbatur ac refrigeratur, horrorem, tremorem, et palliditatem in corporibus generat, siquidem omnia hæc ex frigore oriuntur. ac pallor quidem, quando calor in media se confert, ac rubor superficiem deserit: tremor vero, quia dum spiritus intus constringitur, corpus tremefacit: horror, quia concrescente humore, pili dum premuntur, rigescunt. Omnia igitur hæc Homerus clare innuit, cum inquit. *Pallidi præ metu.* Et: *Pallidus metus corripiebat.* Et: *Membra tremunt mihi, fortia claraque quondam.* Et: *Sic fatus simulatque seni mens fusa timore. Obstupuit, steteruntque comæ, et vir membra levabat.* Ad

δὲ τρίχες ἔσαν ἐνὶ γναμπτοῖσι μέλεσσιν. Κατὰ ταῦτα ἒν καὶ τὸ ἐφοβήθη, ῥίγησε λέγει, καὶ τὸν φόβον κρυόεντα προσαγορεύει. ἐκ δὲ τȣ ἐναντίȣ, θαλπωρὴν τὸ θάρσος, καὶ τὴν ἀγαθὴν ἐλπίδα. τὰ μὲν ȣ̃ν φαῦλα πάθη τȣ̃τον διαιρεῖται τὸν τρόπον.

Πάλιν δὲ τῶν περὶ Ἀριστοτέλην ἀστεῖα πάθη ἡγȣμένων τὴν νέμεσιν, καὶ τὸν ἔλεον (τὸ γὰρ τȣ̀ς ἀγαθȣ̀ς δάκνεσθαι ἐπὶ τοῖς πλησίον, εἰ παρ' ἀξίαν εὐτυχȣ̃σι, νέμεσις καλεῖται. τὸ δὲ λυπεῖσθαι, εἰ παρ' ἀξίαν δυστυχȣ̃σιν, ἔλεος λέγεται) ταῦτα καὶ Ὅμηρος προσήκειν τοῖς ἀγαθοῖς νομίζει, ὅπȣ καὶ τῷ Διῒ ἀνατίθησιν αὐτά. ποιεῖ γὰρ ἄλλα τε, καὶ ταῦτα· Αἴαντος δ' ἀλέεινε μάχην Τελαμωνιάδαο· Ζεὺς γάρ οἱ νεμεσᾶθ', ὅτ' ἀμείνονι φωτὶ μάχοιτο. καὶ ἐν ἄλλοις πάλιν οἰκτείρει τὸν αὐτὸν τρόπον διωκόμενον περὶ τεῖχος.

Περὶ δὲ ἀρετῆς καὶ κακίας ψυχῆς, ἣν ἔχει δόξαν ὁ ποιητὴς, ἐν πολλοῖς παρίστησιν. ἐπεὶ γὰρ τὸ μέν τι τῆς ψυχῆς νοερὸν καὶ λογικόν ἐστι, τὸ δὲ ἄλογον καὶ ἐμπαθὲς, καὶ διὰ τȣ̃το μέσος θεȣ̃ καὶ θηρίȣ γέγονεν ἄνθρωπος, τὴν μὲν ἄκραν ἀρετὴν, θείαν ἡγεῖται, τὴν δὲ ἄκραν κακίαν, θηριωδίαν· ὡς ὕστερον Ἀριστοτέλης [a] ἐνόμισε, καὶ ταῦτα ἐμφανίζει ἐν ταῖς ὁμοιώσεσιν. ἀεὶ γὰρ τȣ̀ς ἀγαθȣ̀ς ὀνομάζει θεοειδεῖς, καὶ Διῒ μῆτιν ἀταλάντȣς· τῶν δὲ φαύλων τȣ̀ς μὲν δειλȣ̀ς, φυζακινῆς ἐλάφοισιν εἰκάζει, καὶ προβάτοις ἀσημάντοις, καὶ λαγωοῖς διωκομένοις. ἐπὶ δὲ τῶν προπετῶς καὶ ἀνοήτως ὑπὸ ὀργῆς φερομένων φησίν· Οὔτ' ȣ̃ν παρδάλιος τόσσον μένος, ȣ̃τε λέοντος, Οὔτε συὸς κάπρȣ ὀλοόφρονος, ȣ̃ τε μάλιστα Θυμὸς ἐνὶ στήθεσσι περὶ σθένεϊ βλεμεαίνει, Ὅσσον Πάνθȣ υἷες ἐϋμμελίαι φρονέȣσι. τȣ̀ς δὲ

eum igitur modum et pro timuit, friguit ait: et metum gelidum appellat. E contra autem, pro audacia, et bona spe, confidentiam, quæ Græcis a calefaciendo, seu fervendo dicitur, usurpat. Atque ad huc modum vitiosos affectus discernit.

Cæterum quum Aristoteles indignationem ac misericordiam pro laudabilibus affectibus habeat (dum namque boni viri uruntur, quando alios præter meritum feliciter agere vident, indignatio vocatur: dum autem illis dolet, si quis præter dignitatem infeliciter agat, misericordia dicitur) Homerus quoque hæc ex bonorum virorum officio esse putat, ubi etiam Jovi ea, tum alia tribuit. Facit enim et alia et hæc: *Cum Telamone sato pugnam detractat inire Jupiter: hocque facit, superetur quo minus iste.* Et in aliis rursus miseratur eundem *fugientem mœnia circum.*

Porro quid Poëta de animi virtute et vitio sentiat, in multis ostendit. Cum enim una illius pars intelligens et rationalis sit, altera vero rationis expers, et affectui obnoxia, atque ob id homo medium quiddam inter Deum et beluam natus sit, summam quidem virtutem divinam, summum autem vitium beluinum, ut et Aristoteles post eum, existimat, atque hæc per similitudines declarat. Semper enim bonos viros diis similes, et *Jovi consilio pares* appellat. Inter malos vero, timidos fugacibus cervis, ovibus custode carentibus, et leporibus fugientibus comparat. De iis autem, qui proclive et incogitanter ira afficiuntur, ait: *Pardi tanta fuit nunquam, non ira leonis, Apri, nonque capri fuit unquam perniciosi, Dum furit, ostentatque suum per pectora robur, Quanta tenet pueros Panthi, quibus hasta decora.* Impotenter autem dolentium

a Eth. VII. 1. ubi quidam libri habeat, θηριωδείαν.

λυπουμένων ἐμπαθέστερον ὀδυρμοὺς ἀηδόνων φωναῖς ἀπεικάζει, ὧν τέκνα ʼΑγρόται ἐξείλοντο, πάρος πετεηνὰ γενέσθαι. οἱ μὲν οὖν Στωϊκοὶ τὴν ἀρετὴν τίθενται ἐν τῇ ἀπαθείᾳ, ἐκείνοις ἑπόμενοι, ἐν οἷς πᾶν πάθημα ἀναιρεῖ, λέγων περὶ μὲν λύπης· ʼΑλλὰ χρὴ τὸν μὲν καταθάπτειν, ὅς κε θάνησι, Νηλέα θυμὸν ἔχοντας, ἐπʼ ἤματι δακρύσαντας. καὶ, Τίπτε δεδάκρυσαι, Πατρόκλεις, ἠΰτε κούρη; περὶ δὲ ὀργῆς, ʽΩς ἔρις ἔκ τε θεῶν, ἔκ τʼ ἀνθρώπων ἀπόλοιτο. περὶ δὲ τοῦ φόβου· Μή τι φόβον δʼ ἀγόρευʼ, ἐπεὶ οὐδέ σε πεισέμεν οἴω. καὶ, Ὃς δέ κεν ὑμέων Βλήμενος, ἠὲ τυπεὶς θάνατον καὶ πότμον ἐπίσπῃ, Τεθνάτω. οὕτως καὶ προκαλούμενοι εἰς μονομαχίαν ἀφόβως ὑπακούουσι, καὶ πλείους ἀνθʼ ἑνὸς ἀνίστανται, καὶ ὁ τετρωμένος οὐδὲν ἧσσον ἔχει τὸ θάρσος παραμένον, ὥς που φησί· Νῦν δέ μʼ ἐπιγράψας ταρσὸν ποδὸς εὔχεαι αὔτως. καὶ πᾶς ὁ γενναῖος ἀπεικάζεται λέοντι, ἢ κάπρῳ, ἢ χειμάῤῥῳ, ἢ λαίλαπι. οἱ δʼ ἐκ τοῦ Περιπάτου τὴν ἀπάθειαν ἀνέφικτον ἀνθρώπῳ νομίζουσι, τὴν δὲ μετριοπάθειαν εἰσάγοντες, τῷ τὴν ὑπερβολὴν τῶν παθῶν ἀναιρεῖν, μεσότητι τὴν ἀρετὴν ὁρίζονται. καὶ Ὅμηρος ἀεὶ παράγει τοὺς ἀρίστους οὔτε ἀγενεῖς, οὔτε μὴν ἀφόβους, ἢ ἀλύπους παντελῶς, ἐν τῷ μὴ ἄγαν δὲ τοῖς πάθεσι κρατεῖσθαι, τῶν φαύλων διαφέροντας. φησὶ γάρ· Τοῦ μὲν γάρ τε κακοῦ τρέπεται χρὼς ἄλλυδις ἄλλῃ· Οὐδέ οἱ ἀτρέμας ἧσθαι, ἔρυταί τʼ ἐν φρεσὶ θυμός· ʼΕν δέ τε οἱ κραδίη μεγάλα στέρνοισι πατάσσει, Κῆρας ὀϊομένῳ, πάταγος δέ τε γίνετʼ ὀδόντων. Τοῦ δʼ ἀγαθοῦ, οὔτʼ ἂρ τρέπεται χρὼς, οὔτε τι λίην Ταρβεῖ. εὔδηλον γὰρ, ὅτι τοῦ ἀγαθοῦ τὸ λίαν φοβεῖσθαι ὑφελὼν, τὸ μέτριον κατέλιπε. τοῦτο δὲ καὶ ἐπὶ τῶν ὁμοίων, λύπης τε καὶ ὀργῆς, χρὴ νοεῖν. τοιοῦτόν ἐστι κἀκεῖνο· Τρῶας

luctus, lusciniæ querelis comparat. *Involucres, cujus pullos prædatus arator.* Quum igitur Stoici virtutem in indolentia ponant, ea sectari videntur, in quibus Homerus omnem affectum tollit, ut quum de ægritudine ait: *Quin sepelitis eum, quem non revocare potestis Ex Erebo, quamvis lacrymas fundatis acerbas.* Et: *Cur lacrymare, Patrocle miser, ceu mœsta puella?* De ira vero, *Lis utinam sublata foret nobis, superisque.* De timore autem: *Ne suadeto metum, nam persuadere nequibis.* Et: *Ictus, percussusque, videns fatumque, necemque, Magnanime occumbat ferro.* Ad hunc modum et ii, qui ad singulare certamen provocabantur, intrepide morem gerunt, imo plures pro uno assurgunt. Atque vulneratus haud minorem perseverandi confidentiam habet, ut alibi inquit: *Quid jactas, quod planta pedis perstricta sit a te?* Denique omnis generosus comparatur leoni, apro, torrenti, aut turbini. Porro quum Peripatetici existiment, homini impossibile, ut perturbationibus vacet: medioque quodam invento, virtutem mediocritate finiant, quæ illarum excessum tollat: Homerus etiam optimos quosque, nec prorsus impotentes, nec intrepidos, nec dolore vacantes inducit, ut in hoc a malis differant, quod affectibus non nimium teneantur. Ait enim: *Mutatur color ignavi, mens atque movetur Sede sua, nutat, nec perstat in ordine certo. Intus cor crepitat multum formidine mortis, Dentes atque crepant, striduntque timore, metuque. At forti color est idem, nec pectora terror Immodicus pulsat.* Perspicuum namque est, quæ cum vehementiorem metum bono viro adimat, mediocrem ei relinquat. Idem et de similibus affectibus, dolore videlicet ac ira, sentiendum, cujusmodi

μὲν τρόμος αἰνὸς ὑπήλυθε γυῖα ἕκαςον, Ἕκτορί τ' αὐτῷ θυμὸς ἐνὶ ςήθεσσι πάτασσεν. οἱ μὲν γὰρ ἄλλοι καὶ ὁρῶντες ἔτρεμον, ὁ δ' ἐν τῷ κινδύνῳ καθεςὼς, ἀνδρεῖος ὢν, μόνον ἠγωνία. ὅθεν ἄλλως μὲν ποιεῖ τὸν Δόλωνα καὶ τὸν Λυκάονα φοβȣμένȣς, ἄλλως δὲ τὸν Αἴαντα καὶ τὸν Μενέλαον ἐντροπαλιζομένȣς, καὶ βάδην ὑποχωρȣ̃ντας, ὥςπερ ἀπωσαμένȣς ςαθμȣ̃ λέοντας. ὡςαύτως δὲ καὶ λυπȣμένων διαφορὰς ἐπιδείκνυσι καὶ ἡδομένων ὁμοίως. ὥςπερ ὁ μὲν Ὀδυσσεὺς, διηγȣ́μενος ὃν τρόπον τȣ̀ς Κύκλωπας ἐξηπάτησεν, ἔφη· ἐμὸν δ' ἐγέλασσε φίλον κῆρ. οἱ δὲ μνηςῆρες πεσόντα τὸν πτωχὸν ἰδόντες, Χεῖρας ἀνασχόμενοι γέλῳ ἔκθανον. φαίνεται δὲ ἐν κατωτέροις ἡ τȣ̃ μετρίȣ διαφορά. καὶ ὁ μὲν Ὀδυσσεὺς τῆς ἑαυτȣ̃ γυναικὸς ἐρῶν, καὶ κλαίȣσαν ἐπ' αὐτῷ ὁρῶν, φέρει· Ὀφθαλμοὶ δ' ὡςεὶ κέρα ἕςασαν, ἠὲ σίδηρος. τῶν δὲ μνηςήρων τῆς αὐτῆς ἐρώντων τῶν θεασαμένων αὐτὴν λῦτο γȣ́νατ', ἔρως δ' ἄρα θυμὸν ἔθελγε, Πάντες δ' ἠρήσαντο παραὶ λεχέεσσι κλιθῆναι. τοιαῦτα μέν ἐςι τὰ παρὰ τῷ ποιητῇ περὶ ψυχῆς δυνάμεων, καὶ παθῶν.

Περὶ δὲ ἀγαθῶν καὶ εὐδαιμονίας πολλῶν εἰρημένων παρὰ τοῖς φιλοσόφοις, τὸ μὲν τὴν ἀρετὴν τῆς ψυχῆς μέγιςον εἶναι τῶν ἀγαθῶν, κατὰ πάντα συνέςηκεν. ἀλλ' οἱ μὲν Στωϊκοὶ τὴν ἀρετὴν αὐτάρκη ἡγȣ̃νται πρὸς εὐδαιμονίαν, λαβόν ἐς τὸ ἐνδόσιμον ἐκ τῶν ὁμηρικῶν τȣ́των, ἐν οἷς τὸν σοφώτατον καὶ φρονιμώτατον πεποίηκεν ὑπὲρ εὐκλείας πόνȣ καταφρονȣ̃ντα, καὶ ἡδονῆς ὑπερορῶντα· τὸ μὲν πρότερον ȣ̔́τως· Ἀλλ' οἷον τόδ' ἔρεξε, καὶ ἔτλη καρτερὸς ἀνὴρ, Αὐτὸν μὲν πληγῇσιν ἀεικελίῃσι δαμάσσας, Σπεῖρα κακ' ἀμφ' ὤμοι-

illud est: *Membra Phrygum subiit vehemens tremor, Hectoris atque Magnanimum quamvis crepitat cor, pectore læto.* Alii namque vel videndo contremiscebant: hic vero quamvis in periculo constitutus, tamen fortis erat, et duntaxat æstuabat. Unde aliter quidem Dolonem ac Lycaonem timentes fingit: aliter vero Ajacem et Menelaum respectare, ac se pedetentim subducere. perinde ut leones, qui a stabulo repulsi sunt. Eodem modo et dolentium discrimina commonstrat, et gaudentium similiter. Sic Ulysses commemorans, quo pacto Cyclopibus imposuerit, ait: *Corde sinuque meo risi, dum talia dicunt.* Proci vero conspecto mendico humi prostrata, *Sublatis manibus risu pene emoriuntur.* Porro et inferioribus rebus mediocritatis differentia apparet: ut dum Ulysses, tametsi uxorem suam diligeret, atque eam propter ipsum plorantem videret, nihilominus tamen se continet: *Lumina constiterant ceu cornea, ferrea sive.* Procorum autem, qui eandem amabant, et suspiciebant, *Genua labascunt, mulcenturque cupidine cæco, Conjuge Penelopa cupit atque potirier omnis.* Talia quidem apud poëtam sunt de animæ viribus, et affectibus.

